ΠΡΩΤ/ΡΟΥ ΔΗΜΗΤΡΙΟΥ ΒΑΚΑΡΟΥ ΔΡ.Θ.

# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΕΥΧΑΙ ΕΞΟΡΚΙΣΜΩΝ

## ΕΙΣ ΠΑΡΑΚΛΗΣΙΝ ΑΣΘΕΝΩΝ ΧΕΙΜΑΖΟΜΕΝΩΝ ΚΑΙ ΕΠΗΡΕΑΖΟΜΕΝΩΝ ΥΠΟ ΠΝΕΥΜΑΤΩΝ ΑΚΑΘΑΡΤΩΝ



ΘΕΣΣΑΛΟΝΙΚΗ 2013

# ΠΕΡΙΕΧΟΜΕΝΑ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ
(Είς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, είς τήν ὑπεραγία Θεοτόκον, είς τούς ἀσωμάτους, εἰς τούς Ἀποστόλους, καί εἰς τούς Ἁγίους πάντες) ........ σελ. 7

ΕΥΧΑΙ ἤτοι ΕΞΟΡΚΙΣΜΟΙ ἐπί πασχόντων ὑπό Δαιμόνων καί ἐπί πᾶσαν ἀσθένειαν ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ........ σελ. 31

ΕΞΟΡΚΙΣΜΟΙ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ........ σελ. 43

ΕΥΧΑΙ ΔΙΑ ΤΑΣ ΑΥΤΑΣ ΑΣΘΕΝΕΙΑΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ........ σελ. 53

ΙΕΡΑΙ ΕΥΧΑΙ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΥΠΡΙΑΝΟΥ ΠΡΟΣ ΔΙΑΛΥΣΙΝ ΤΩΝ ΜΑΓΙΩΝ ........ σελ. 67

ΕΥΧΑΙ ΤΟΥ ΑΓΙΟΥ ΠΑΡΘΕΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΛΑΜΨΑΚΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ........ σελ. 93

ΕΥΧΗ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΞΕΝΙΑΣ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ........ σελ. 105

ΕΥΧΗ ΑΓΙΟΥ ΓΕΡΑΣΙΜΟΥ ΚΕΦΑΛΛΗΝΙΑΣ ........ σελ. 113

ΕΥΧΑΙ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΒΑΡΒΑΡΑΣ ........ σελ. 121

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΔΕΚΑΠΟΛΙΤΟΥ ........ σελ. 129

ΕΞΟΡΚΙΣΜΟΣ ΤΟΥ ΑΓΙΟΥ ΤΡΥΦΩΝΟΣ ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ........ σελ. 135

ΕΥΧΗ ΤΩΝ ΕΠΤΑ ΠΑΙΔΩΝ ΕΙΣ ΑΣΘΕΝΗ ΚΑΙ ΜΗ ΥΠΝΟΥΝΤΑ ........ σελ. 145

ΕΥΧΗ ΕΠΙ ΟΙΚΙΑΣ ΠΕΡΙΕΡΓΑΖΟΜΕΝΗΣ ΥΠΟ ΠΝΕΥΜΑΤΩΝ ΑΚΑΘΑΡΤΩΝ ........ σελ 151

ΕΥΧΗ ΕΠΙ ΑΙΣΧΡΩΝ ΛΟΓΙΣΜΩΝ ........ σελ 154

ΕΤΕΡΑ ΕΥΧΗ ΕΙΣ ΠΟΛΕΜΟΝ ΠΟΡΝΕΙΑΣ ........ σελ 155-156

ΒΙΒΛΙΟΓΡΑΦΙΑ ........ σελ. 157

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

**Είς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
είς τήν ὑπεραγία Θεοτόκον,
είς τούς ἀσωμάτους, είς τούς Ἀποστόλους,
καί είς τούς Ἁγίους πάντες**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν, καὶ ἀεί, καὶ είς τοὺς αἰῶνας τῶν αἰῶνων. Ἀμήν.

ἤ

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

**Δόξα σοι, Χριστὲ ὁ Θεός,
ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.**

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρῶν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος· καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Κύριε, ἐλέησον. (ιβ΄).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου, ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπὸν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησὸν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ

κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

## Καὶ πάλιν·

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου (δίς).

## Εἶτα·

Τὸ Πνεῦμα σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχὸμενος ἐν ὀνόματι Κυρίου (κατὰ τὸν Ἦχον τοῦ τῆς ἡμέρας Τροπαρίου) μετὰ τῶν Στίχων αὐτοῦ.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ Ὄνομα τὸ ἅγιον αὐτοῦ.
Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ

Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά παρόντα Τροπάρια.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ταχὺς εἰς ἀντίληψιν, μόνος ὑπάρχων Χριστέ, ταχεῖαν τὴν ἄνωθεν, δεῖξον ἐπίσκεψιν, τοῖς πάσχουσι δούλοις σου· λύτρωσαι νοσημάτων, καὶ πικρῶν ἀλγηδόνων· ἔγειρον τοῦ ὑμνεῖν σε, καὶ δοξάζειν ἀπαύστως· πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτη-

ρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν παρακλητικός, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εἰς τὴν ὑπεραγίαν Θεοτόκον, εἰς τοὺς ἀσωμάτους, εἰς Ἀποστόλους, καὶ εἰς πάντας τοῦς Ἁγίους.

## Ὠδὴ α΄.

ἦχος β΄. Δεῦτε λαοί, ᾄσωμεν

Ὁ ποιητής καὶ λυτρωτής μου καὶ Κύριος, ἡ τῶν πιστῶν βοήθεια, τᾶχυνον ῥῦσαι με τοῦ παρόντος κινδύνου· ὁ δοῦλός σου βοᾷ σοι, μόνε φιλάνθρωπε.

Ὁ τήν ἡμῶν μόνος γινώσκων ἀσθένειαν, ἐκ τῆς παρούσης θλίψεως, καί τοῦ συνέχοντος ὀλεθρίου προφθάσας ἐξάρπασον, καὶ σῶσον, Σῶτερ, τὸν δοῦλόν σου.

Δόξα.

Ἀγγελικαὶ, τάξεις ἀΰλων δυνάμεων, σὺν Ἀποστόλοις, Μάρτυσι, καθικετεύσατε τόν ὅλων Δεσπότην κινδύνου βαρυτάτου ῥῦσαι τὸν δοῦλον αὐτοῦ.

Καὶ νῦν.
Θεοτοκίον.

Ἡ τῶν πιστῶν καταφυγή, ἀειπάρθενε, ἡ κραταιὰ βοήθεια ἡμῶν τῶν δούλων σου, ἡ παρούσης ἀνάγκης τὸν δοῦλόν σου πρεσβείαις λύτρωσαι, Δέσποινα.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Ὡς πάλαι Ἰακὼβ τὸν σὸν θεράποντα ἐῤῥύσω τῆς τοῦ Ἡσαῦ βασκανίας· οὕτω ῥῦσαι τὸν οἰκέτην σου, τῆς παρούσης ἀνάγκης, ὡς φιλάνθρωπος.

Φιλάνθρωπε σωτήρ ἐπικαλοῦμαί σε ἐν θλίψει ὑπάρχων καὶ ἀθυμίᾳ. Μὴ παρίδῃς με τὸν δοῦλόν σου, ἀλλὰ σπεῦσον, καὶ ῥῦσαι με ὡς εὔσπλαγχνος.

## Δόξα.

Ο μόνος ἀγαθὸς, ὁ μόνος εὔσπλαγχνος, ὁ μόνος οἰκτίρμων, καὶ ἐλεήμων, τῇ πρεσβείᾳ, τῶν ἁγίων σου, τόν σόν δοῦλον οἰκτείρας ἐλευθέρωσον.

## Καὶ νῦν.
## Θεοτοκίον.

Ον ἔτεκες Ἁγνὴ, Θεὸν ἱκέτευε, σὺν πᾶσιν ἀγγέλοις καὶ Ἀποστόλοις, σὺν Προφήταις τε, καὶ Μάρτυσιν, ἐκ κινδύνων τόν δοῦλόν σου λυτρώσασθαι.

## Εἶτα ὁ Ἱερεὺς.

Ελέησον ἡμᾶς ὁ Θεός, κατά τό μέγα ἔλεός σου δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ετι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

## Ὁ Ἱερεὺς.

Οτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν Δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Κάθισμα.

### Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

### Ὠδὴ, δ΄. Ἐλήλυθας.

Τῷ λαίλαπι τῶν κινδύνων δεινῶς ῥιπιζόμενον τὸν σὸν δοῦλον, Δέσποτα, καὶ τῷ πελάγει τῶν θλίψεων νῦν κλυδωνιζόμενον πρός γαλινότατον ὅρμον καθογήγησον.

Οἱ θλίβοντες, τὸν σὸν δοῦλον Χριστὲ ἐπληθύνθησαν καὶ γλῶσσαν ἠκὸνησαν καθάπερ δίστομον μάχαιραν. Ἴδε οὖν φιλάνθρωπε, καὶ ἐξ ἀδίκου θανάτου τὸν σὸν δοῦλον λύτρωσαι.

### Δόξα.

Ἀρχάγγελοι, ἐξουσίαι, δυνάμεις, καὶ ἄγγελοι, Ἀπόστολοι, Μάρτυρες, Ὅσιοι, Προφῆται καὶ δίκαιοι πάντες δυσωπήσατε ὑπὲρ τοῦ νῦν παναθλίως κινδυνεύοντος.

Καὶ νῦν
Θεοτοκίον.

Πανύμνητε τῶν ἀνθρώπων ἑτοίμη βοήθεια, τὰ ἄγρια κύματα τῶν πειρασμῶν κατα-πράϋνον, καὶ τὸν ἐν τῇ σκέπῃ σου καταφεύ-γοντα ἴασαι δοῦλόν σου, Δέσποινα.

Ὠδή, ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ὁ Ἐζεκίου ποτὲ ἀποπληρώσας τὰς εὐχάς Κύ-ριε, καὶ τήν ἐμήν πλήρωσον ἐν τάχει, ὁ μό-νος ἀγαθὸς, καὶ σῶσον τὸν δοῦλόν σου ἐκ πά-σης κακώσεως.

Ὁ δι᾽ ἀγγέλου χειρὸς τὸν κορυφαῖον μαθητὴν Κύριε, ἐκ φυλακής θεία δυναστεία ποτέ ἐξαγα-γὼν, ῥῦσαι τὸν σὸν δοῦλον δεινῶς κινδυνεύ-οντα.

Δόξα.

Ἀγγελικαὶ στρατιαὶ, τῶν Ἀποστόλων, Προφη-τῶν, δῆμός τε πανευκλεῶν Μαρτύρων, Ὁσίων, ὑπέρ τοῦ ἐν δεινοῖς ὑπάρχοντος ἅμα πρεσβείαν ποιήσατε.

Καὶ νῦν.
Θεοτοκίον.

Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, τάχυνον ῥῦσαι τόν πιστόν δοῦλόν σου τοῦ χαλεποῦ καί

δεινοῦ κινδύνου τοῦ νῦν ἐπελθόντος. Ἵνα σε δοξάζῃ καρδίᾳ καὶ στόματι.

Ὠδὴ, στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ κητώαις γαστρὸς λυτρωσάμενος πάλαι τὸν προφήτην σου Δέσποτα Κύριε, τὸν σὸν οἰκέτην λύτρωσαι· ἵνα πίστει καὶ πόθῳ δοξάζῃ σε.

Δανιὴλ ὡς ἐῤῥύσω λεόντων Χριστέ, ῥῦσαι πονηρῶν ἐξ ἀνθρώπων, νύν κἀμὲ τὸν σὸν οἰκέτην Δέσποτα, καὶ φθορᾶς καὶ θανάτου ἀνάγαγε.

Δόξα.

Κινδυνεύοντα σῶσον τὸν δοῦλόν σου, Σῶτερ, τῶν ἁγίων ἀγγέλων δεήσεσι, τῶν προφητῶν, μαρτύρων τε, καὶ σοφῶν μαθητῶν σου δεήσεσι.

Καὶ νῦν.
Θεοτοκίον.

Μὴ παρίδῃς δεινῶς χειμαζόμενον καὶ ἐξαπορούμενον, κόρη, τὸν δοῦλόν σου, ἀλλά συνήθως λύτρωσαι προσφυγόντα τῇ σκέπῃ σου ἄχραντε.

Εἶτα ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τό μέγα ἔλεός σου δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ Ἱερεύς.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν Δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τό,

Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς. Δέσποινα βοήθησον ἐφ' ἡμᾶς σπλαγχνισθεῖσα· σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὠδὴ, ζ΄. Εἰκόνος χρυσῆς.

Ὡς πάλαι τοὺς τρεῖς ἐκ καμίνου τοῦ πυρὸς παῖδας ἐρρύσω, ῥῦσαι οἰκτίρμων, τὸν οἰκέτην σου, ὡς ἀγαθὸς δυσωποῦμέν σε τῆς ἐπερχομένης ἀνάγκης, καὶ τῆς φλογώσεως, Δέσποτα, τῶν ἀνυποίστων πειρασμῶν, ὅπως δοξάζῃ σε.

Ὁ μόνος εἰδὼς τὴν ἀσθένειαν Χριστὲ τῶν ἀνθρωπίνων, ὁ ὑποδείξας ἐν ταῖς θλίψεσι τὰς παρακλήσεις φιλάνθρωπε, ῥῦσαι τοῦ παρόντος κινδύνου καὶ τόν οἰκέτην σου ψάλλοντα, εὐλογητὸς ὁ Θεός ὁ τῶν πατέρων ἡμῶν.

Δόξα.

Ἀγγέλων πληθὺς, Ἀποστόλων, προφητῶν, μαρτύρων θείων, καὶ προπατόρων θεῖος σύλλογος, τόν ἀγαθὸν δυσωπήσατε, νῦν τὸν κοπετὸν μεταστρέψαι εἰς χαρὰν τοῦ κραυγάζοντος· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Καὶ νῦν.
Θεοτοκίον.

Ἡ μόνη ἐλπίς, καὶ βοήθεια πιστῶν θεογεννῆτορ, σπεῦσον, βοήθει τῷ ἱκέτῃ σου χειμαζομένῳ ταῖς θλίψεσι πανταχόθεν, καὶ ἠπορημένῳ, καὶ ἐν ὀδύνῃ ὑπάρχοντι, καὶ καταφεύγοντι εἰς σέ ἐν πεποιθήσει ψυχῆς.

Ὠδή, η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Παύλου καὶ Σίλα τὰς εὐχὰς ὡς ἐδέξω, καὶ δεσμῶν τούτους ἐρρύσω· καὶ ἡμῶν ἐλεῆμον, τῶν ἀναξίων νῦν βοώντων τὰς φωνὰς ἐπάκουσον. Ῥῦσαι τόν σὸν δοῦλον φθορᾶς τε καὶ θανάτου.

Μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τοῦ οἰκέτου σου Χριστὲ τὸ πρόσωπόν σου, ὅτι θλίβομαι ταχὺ ἐπάκουσόν μου Σωτὴρ, καὶ ῥῦσαι τοῦ παρόντος κλύδωνος· δι' ἡμῶν βοᾷ σοι ὁ δοῦλός σου, οἰκτίρμον.

Δόξα.

Ταῖς ἱκεσίαις ὁ Θεὸς, τῶν ἀΰλων λειτουργῶν, καὶ Ἀποστόλων, καὶ Μαρτύρων χορείας, καὶ ἱερῶν Προφητῶν, Ὁσίων, δικαίων ἁπάντων τε, ῥῦσαι τὸν σὸν δοῦλον τοῦ χαλεποῦ κινδύνου.

Καὶ νῦν.
Θεοτοκίον.

Καταφυγὴ χριστιανῶν, βοηθὲ τῶν ἐν δεινοῖς χειμαζομένων, παναγία Παρθένε, μὴ ὑπερίδῃς τὸν σὸν οἰκέτην κινδύνοις ποντούμενον καὶ τῇ κραταιᾷ σου προσφυγόντα νῦν σκέπῃ.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ, Θεὸν λόγον.

Τὰ λυπηρὰ τοῦ σοῦ δούλου, τοῦ παρόντος κινδύνου καὶ χαλεπὴν μεταποίησον δέσποτα, καὶ μετάτρεψον τούτου τὸ πένθος εἰς χαρὰν διηνεκῆ ἵνα πίστει καὶ πόθῳ ἀπαύστως μεγαλύνῃ σε.

Σοῦ τὴν πολλὴν εὐσπλαγχνίαν μὴ νικήσῃ οἰκτίρμον, τὸ πλῆθος τῶν ἀμέτρων μου κακῶν.

Ἀλλὰ συνήθει ἐλέει σου δι᾽ ἡμῶν σοι κραυγάζει ὁ δοῦλός σου. Σῶσον καί ῥῦσαί με Χριστὲ ἀπὸ βλάβης παντοίας ὁ μόνος πολυέλεος.

Δόξα.

Φεῖσαί μου Κύριε, φεῖσαι ὅταν μέλλης μὲ κρίναι, καὶ μὴ καταδικάσῃς με είς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε παρθένος ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν Ἀγγέλων τὰ πλήθη, καὶ τῶν Μαρτύρων σύλλογος.

Καὶ νῦν.

Θεοτοκίον.

Ὑπεραγία Παρθένε, μετά τῶν ἀσωμάτων λειτουργῶν, καὶ ἁγίων ἀγγέλων, Ἀποστόλων, Προφητῶν, μαρτύρων, καὶ ὁσίων ἁπάντων, τὸν μόνον ὑπεράγαθον Θεὸν ἐκδυσωπήσατε ῥυσθῆναι κακώσεως τὸν δοῦλόν σου.

Καὶ εὐθὺς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν άδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον καὶ τὸν Λαόν, ἢ τὸν οἶκον ὅπου ψάλλεται ἡ Παράκλησις· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Μεγαλυνάρια.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· Ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ, χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν

ἱστοριθεῖσαν ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Τὸ Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Εἶτα·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκᾶς, οἱ ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς. Ἀμήν.

Ὁ Ἀναγνώστης·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς·

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά ὁ ἱερεύς λαμβάνει ἔλαιον ἀπό τὴν κανδήλα καί ἀλείφει τόν ἀσθενεῖ, λέγων τήν εὐχήν:

Πάτερ Ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἥμῶν, ὁ πέμψας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πᾶσαν νόσον ἰώμενον καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι καὶ τὸν δοῦλόν σου (τόν δε), ἐκ τῆς περιεχούσης αὐτὸν σωματικῆς καὶ ψυχικῆς ἀσθενείας, καὶ ζωοποίησον αὐτόν, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· πρεσβείαις τῆς ὑπεραγίας, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ

ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου καὶ ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλελαίου καὶ Τρύφωνος· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων.

Ὅτι σὺ εἶ ἡ πηγή τῶν ἰαμάτων, ὁ Θεὸς ἡμῶν, καί σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου, Κύριον τόν Θεόν ἡμῶν ἱκετεύσωμεν.
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Σοφία Ὀρθοί. Ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου.
Εἰρήνη Πᾶσι.

Ὁ λαός: Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατά Ματθαῖον, Ἁγίου Εὐαγγελίου τό ἀνάγνωσμα.

Πρόσχωμεν.

Ὁ λαός: Δόξα σοι, Κύριε, δόξα σοι.

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τούς δώδεκα Μαθητάς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατά πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καί θεραπεύειν πᾶσαν νόσον καί πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδόν ἐθνῶν μή ἀπέλθητε, καί εἰς πόλιν Σαμαρειτῶν μή εἰσέλθητε. Πορεύεσθε δέ μᾶλλον πρός τά πρόβατα τά ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δέ κηρύσσετε λέγοντες: Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπρούς καθαρίζετε, νεκρούς ἐγείρετε, δαιμόνια ἐκβάλλετε, δωρεάν ἐλάβετε, δωρεάν δότε.

Ὁ λαός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεύς τήν εὐχήν, τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Κύριε ὁ Θεός, ὁ μόνος ἀγαθός καί φιλάνθρωπος, ὁ μόνος Χριστός καί ἐπιεικής, ὁ μόνος

οἰκτίρμων καί πολυέλεος Θεός ἡμῶν, ὁ Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπί Ποντίου Πιλάτου σταυρωθέντος, καί τῇ τρίτῃ ἡμέρᾳ ἐγερθέντος, καί εἰσελθόντος εἰς δόξαν τήν ἑαυτοῦ καί τήν σήν, ἐλθέτω ἡ χάρις σου ἐφ' ἡμᾶς καί ἐπί τόν δοῦλόν σου, (τόν δε), καί ἐνδυναμωσάτω ἡμᾶς, Κύριε, τό Εὐαγγέλιον τῆς διδασκαλίας σου. Πάτερ εὔσπλαγχνε, φώτισον ἡμῶν τά σπλάγχνα, καί πάντα τά μέλη τῷ σῷ θελήματι, καί καθάρισον ἡμᾶς ἀπό πάσης κακίας καί ἁμαρτιῶν, συντήρησον δέ ἡμᾶς ἀσπίλους καί ἀμώμους ἀπό πάσης περιεργείας τοῦ ἀντικειμένου, καί χάρισαι ἡμῖν, Κύριε, κατά τήν σήν χρηστότητα, τά σά νοεῖν, τά σά φρονεῖν, ἐν τοῖς σοῖς ἀναστρέφεσθαι, τόν σόν φόβον φοβεῖσθαι, ποιεῖν τά εὐχάριστά σοι ἕως τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς καί ἡμέρας καί ὥρας. Ἐπικαλούμεθά σε, τόν ἀληθινόν Θεόν ἡμῶν, οἱ ἁμαρτωλοί ἡμεῖς, ὅπως ἄν κατά τό ἀνεκδιήγητόν σου ἔλεος, σφραγίσῃς ἡμῶν τό σῶμα, καί τήν ψυχήν καὶ τό πνεῦμα, καί διατηρήσῃς ἀπό παντός πονηροῦ δαίμονος, ἀπό παντός ἑρπετοῦ ἰοβόλου, ἀπό παντός θηρίου, τοῦ ἐπί τῆς γῆς, ἀπό πάσης ἀνομίας, ἀπό πάσης φαρμακείας, καί ἀπό πάσης πλάνης, ἀπό πάσης ματαιότητος, ἀπό πάσης πορνείας καί πλεονεξίας, ἀπό πάσης νόσου καί μαλακίας,

ἀπό παντός ψεύδους καί πάσης ῥαδιουργίας, καί πάσης παγίδος τοῦ ἀντικειμένου ἡμῖν. Πάτερ ἀφθαρσίας, σκέπασον τόν δοῦλόν σου τῇ σῇ εὐσπλαγχνίᾳ, καί μή ἐγκαταλίπῃς ἡμᾶς, μή δέ ποιήσῃς ἐπίχαρμα ἐχθρῶν, καί ἐξουθένημα λαοῦ καί καταπάτημα δαιμόνων, ἀλλ᾽ ἵνα ἡ σή χάρις, τό σόν ἔλεος ᾖ μεθ᾽ ἡμῶν πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ὅτι σόν τό κράτος καί σοῦ ἐστίν ἡ βασιλεία, καί ἡ δύναμις, καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τά κάτωθι τροπάρια.

Ἦχος β΄.

Σταυρός ὁ φύλαξ πάσης τῆς οἰκουμένης. Σταυρός ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρός βασιλέων τό κραταίωμα. Σταυρός πιστῶν τό στήριγμα. Σταυρός Ἀγγέλων ἡ δόξα καί τῶν δαιμόνων τό τραῦμα.

Ἦχος πλ. δ΄.

Κύριε ὅπλον κατά τοῦ διαβόλου, τόν Σταυρόν Σου ἡμῖν δέδωκας. Φρίττει γάρ καί τρέμει, μή φέρων καθορᾶν αὐτοῦ τήν δύναμιν· ὅτι νεκρούς ἀνιστᾷ, καί θάνατον κατήργησε.

Διά τοῦτο προσκυνοῦμεν τήν ταφήν Σου καί τήν ἔγερσιν.

Δόξα. Ἦχος πλ. α΄.

Ὅπου ἐπισκιάσῃ ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει γάρ τῷ φωτί σου προσμένειν, ὁ πεσών Ἑωσφόρος. Διό αἰτοῦμέν σε, τά πυρφόρα αὐτοῦ βέλη, τά καθ᾽ ἡμῶν κινούμενα ἀπόσβεσον, τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαήλ Ἀρχάγγελε.

Καί νῦν.
Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οἱ πιστοί κατά χρέος, τήν πόλιν τὴν ἄσειστον, τό τεῖχος τό ἄρρηκτον, τήν ἀρραγὴ προστασίαν, καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

# ΕΥΧΑΙ ἤτοι ΕΞΟΡΚΙΣΜΟΙ
# ἐπί πασχόντων ὑπό Δαιμόνων
# καί ἐπί πᾶσαν ἀσθένειαν

## ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ




**Τῇ 1ῃ τοῦ μηνὸς Ἰανουαρίου, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ΒΑΣΙΛΕΙΟΥ, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ ΜΕΓΑΛΟΥ**

## Ἀπολυτίκιον

Ἦχος α΄

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

## Κοντάκιον

Ἦχος δ΄

Ὤφθης βάσις ἄσειστος τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, Οὐρανοφάντορ Βασίλειε ὅσιε.

## Μεγαλυνάριον

Τὸν Οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ Δεσπότου, τὸν φωστῆρα τὸν φαεινόν, τὸν ἐκ Καισαρείας, καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεός τῶν θεῶν, καί Κύριος τῶν κυρίων, ὁ τῶν πυρίνων ταγμάτων δημιουργός, καί τῶν ἀΰλων Δυνάμεων τεχνουργός, ὁ τῶν ἐπουρανίων καί τῶν ἐπιγείων τεχνίτης· ὅν εἶδεν οὐδείς ἀνθρώπων, οὐδέ ἰδεῖν δύναται· ὅν φοβεῖται καί τρέμει πᾶσα ἡ κτίσις· ὁ τόν τραχηλιάσαντά ποτε Ἀρχιστράτηγον καί τήν τούτου λειτουργίαν παρακοῇ ἀθετήσαντα, ρήξας ἐπί τῆν γῆν, καί τούς συναποστάτας αὐτῷ ἀγγέλους, δαίμονας γενομένους, εἰς σκότωσιν βυθοῦ ταρταρώσας· δός τόν ἀφορκισμόν τοῦτον, ἐπί τῷ φρικτῷ ὀνόματί σου τελούμενον, φόβῳ γενέσθαι αὐτῷ τῷ προηγουμένῳ τής πονηρίας, καί πάσαις ταῖς φάλαγξιν αὐτοῦ, ταῖς συνεκπεσούσαις αὐτῷ ἐκ τῆς ἄνω φωτοφορίας, καί τρέψον αὐτόν εἰς φυγήν, καί ἐπίταξον αὐτῷ καί τοῖς δαίμοσιν αὐτοῦ ἀναχωρῆσαι παντελῶς· ἵνα μή τί βλαβερόν κατά τῆς ἐσφραγισμένης εἰκόνος ἐργάσηται· ἀλλά λαβέτωσαν ἰσχύν οὗτοι οἱ ἐσφραγισμένοι κραταιότητος, τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων, καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ. Σοῦ γάρ ὑμνεῖται καί μεγαλύνεται, καί ἀπό πάσης πνοῆς ἐν φόβῳ δοξάζεται τό πανάγιον

ὄνομα τοῦ Πατρός, καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεῦματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω σέ τόν ἀρχέκακον τῆς βλασφημίας, τόν ἀρχηγόν τῆς ἀνταρσίας, καί αὐτουργόν τῆς πονηρίας. Ἐξορκίζω σε τόν ἐκριφθέντα ἐκ τῆς ἄνω φωτοφορίας, καί σκότῳ βυθοῦ κατενεχθέντα διά τῆν ἔπαρσιν. Ἐξορκίζω σε, καί πᾶσαν τῆν ἐκπεσοῦσαν δύναμιν, τῆς σῆς ἀκόλουθον προαιρέσεως. Ὀρκίζω σε, πνεῦμα ἀκάθαρτον, κατά τοῦ Θεοῦ Σαβαώθ, καί πάσης στρατιᾶς Ἀγγέλων Θεοῦ, Ἀδωναί, Ἐλωΐ, Θεοῦ παντοκράτορος. Ἔξελθε καί ἀναχώρησον ἀπό τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος). Ἐξορκίζω σε κατά τοῦ Θεοῦ τοῦ πάντα λόγῳ κτίσαντος, καί τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Μονογενοῦς Υἱοῦ αὐτοῦ, τοῦ πρό τῶν αἰώνων ἀρρήτως καί ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντος· τοῦ τήν ἀόρατον καί ὁρατήν κτίσιν δημιουργήσαντος, καί τοῦ κατ' εἰκόνα ἰδίαν τόν ἄνθρωπον πλαστουργήσαντος· τοῦ νόμῳ πρότερον φυσικῶς τοῦτον παιδαγωγήσαντος· καί Ἀγγέλων ἐπιστασίᾳ φυλάξαντος· τοῦ ὕδατι

τήν ἁμαρτίαν κατακλύσαντος ἄνωθεν, καί τάς ὑπ' οὐρανόν ἀβύσσους ἀναστομώσαντος, καί γίγαντας ἀσεβήσαντας καταφθείραντος, καί πύργον τῶν βεβήλων κατασείσαντος, καί γῆν Σοδόμων καί Γομόρρων πυρί καί θείῳ τεφρώσαντος, οὗ μάρτυς καπνός ἀκοίμητος ἐξατμίζεται· τοῦ ράβδῳ πέλαγος ρήξαντος καί λαόν ἀβρόχοις ποσί περάσαντος, καί τύραννον Φαραώ, καί στρατόν θεόμαχον, είς αἰῶνα τοῖς κύμασι κατακλύσαντος τῆς ἀσεβείας πόλεμον· τοῦ ἐπ' ἐσχάτων ἐκ Παρθένου ἁγνῆς σαρκωθέντος ἀνεκλαλήτως, καί σώας τάς σφραγῖδας τῆς ἁγνείας φυλάξαντος· τοῦ πλῦναι βαπτίσματι τόν παλαιόν ἡμῶν ρύπον εὐδοκήσαντος, ὅν ἡμεῖς διά τῆς παραβάσεως ἐπεσπασάμεθα. Ἐξορκίζω σε, κατά τοῦ βαπτισθέντος ἐν Ἰορδάνῃ καί τύπον ἡμῖν ἀφθαρσίας ἐν ὕδατι κατά χάριν παρεχομένου, ὅν Ἄγγελοι καί πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν κατεπλάγησαν, τόν σαρκωθέντα Θεόν βλέπουσαι μετριάσαντα, ὅτε ὁ ἄναρχος Πατήρ τήν ἄναρχον γέννησιν τοῦ Υἱοῦ ἀπεκάλυψε, καί τοῦ Ἁγίου Πνεύματος ἡ κατάβασις τῆς Τριάδος τήν ἕνωσιν ἐμαρτύρησεν. Ὁρκίζω σε, κατ' ἐκείνου τοῦ ἄνεμον ἐπιτιμήσαντος, καί κλύδωνα θαλάσσης πραΰναντος· τοῦ στίφη δαιμόνων ἐκδιώξαντος, καί κόρας ὀμμάτων, ἀπό μή-

τρας λειπούσης, πηλῷ τυφλοῖς ἀναβλέψαι ἐναρμόσαντος καί τήν ἀρχαίαν τοῦ γένους ἡμῶν διάπλασιν ἀνακαινίσαντος, καί ἀλάλοις τό λαλεῖν ἀνορθώσαντος· τοῦ στίγματα λέπρας ἀποσμήξαντος καί νεκρούς ἐκ τάφων ἀναστήσαντος· τοῦ μέχρι ταφῆς τοῖς ἀνθρώποις ὁμιλήσαντος, καί τόν Ἅδην ἐγέρσει σκυλεύσαντος, καί πᾶσαν τήν ἀνθρωπότητα, ἀνάλωτον τῷ θανάτῳ κατασκευάσαντος. Ὁρκίζω σε, κατά Θεοῦ τοῦ Παντοκράτορος, τοῦ τῇ θεοπνεύστῳ φωνῇ τούς ἀνθρώπους ἐμπνεύσαντος, καί τοῖς Ἀποστόλοις συμπράξαντος, καί πᾶσαν τήν οἰκουμένην εὐσεβείας πληρώσαντος. Φοβήθητι, φύγε, δραπέτευσον, ἀναχώρησον, δαιμόνιον ἀκάθαρτον καί ἐναγές, καταχθόνιον, βύθιον, ἀπατηλόν, ἄμορφον, θεατόν δι' ἀναίδειαν, ἀθέατον διά τήν ὑπόκρισιν, ὅπου ἄν τυγχάνης, ἤ ἀπέρχη, ἤ αὐτός εἶ ὁ Βεελζεβούλ, ἤ κατασείων, ἤ δρακοντοειδής, ἤ θηριοπρόσωπος, ἤ ὡς ἀτμίς, ἤ ὡς καπνός φαινόμενος, ἤ ὡς ἄρσεν, ἤ ὧς θῆλυ, ἤ ὡς ἑρπετόν, ἤ ὡς πετεινόν, ἤ νυκτόλαλον, ἤ κωφόν, ἤ ἄλαλον· ἤ ἐκφοβοῦν ἐξ ἐπιδρομῆς, ἤ σπαράσσον, ἤ ἐπιβουλεῦον, ἤ ἐν ὕπνῳ βαρεῖ, ἤ ἐν νόσῳ, ἤ ἐν μαλακίᾳ, ἤ ἐν γέλωτι ρέμβον, ἤ δάκρυα φιλήδονα ἐμποιοῦν, ἤ λάγνον, ἤ δυσῶδες, ἤ ἐπιθυμητικόν, ἤ ἡδονικόν ἤ φαρμα-

κόφιλον, ἤ ἐρωτομανές, ἤ ἀστρομαγικόν, ἤ ἐνοικηματικόν, ἤ ἀναιδές ἢ φιλόνεικον, ἤ ἀκατάστατον· ἤ ἐν τῇ σελήνῃ συναλλοιούμενον, ἤ χρόνῳ τινί συντρεπόμενον· ἤ ὀρθρινόν, ἢ μεσημβρινόν, ἤ μεσονυκτικόν, ἤ ἀωρίας τινός, ἤ αὐγῆς· ἤ αὐτομάτως συνῆντησας, ἤ ἐπέμφθης ὑπό τινος, ἤ προσπελάσας ἄφνω, ἤ ἐν θαλάσσῃ, ἤ ἐν ποταμῷ, ἤ ὑπό γῆς, ἤ φρέατος, ἤ ἐκ κρημνοῦ, ἤ ἐκ λάκκου, ἤ λίμνης, ἤ καλαμῶνος, ἤ ὕλης, ἤ ἀπογαίου, ἤ ἀκαθάρτου, ἤ ἄλσους, ἤ δρυμῶνος, ἤ δένδρου, ἤ ὀρνέου, ἤ βροντῆς, ἤ ἐκ στέγης λουτροῦ, ἤ ἐν κολυμβήθρᾳ ὑδάτων, ἤ ἐκ μνήματος εἰδωλικοῦ, ἤ ὅθεν ἴσμεν καί οὐκ ἴσμεν, ἤ γνωστόν ἤ ἄγνωστον, καί ἐξ ἀπερισκέπτου τόπου· μερίσθητι καί ἀπαλλάγηθι. Αἰσχύνθητι τήν εἰκόνα, τῆν χειρί Θεοῦ πλασθεῖσαν καί μορφωθεῖσαν. Φοβῆθητι τοῦ σαρκωθέντος Θεοῦ τό ὁμοίωμα, καί μή ἐγκρυβῇς εἰς τόν δοῦλον τοῦ Θεοῦ (τόν δεῖνα)· ἀλλά ράβδος σιδηρᾶ καί κάμινος πυρός, καί τάρταρος, καί ὀδόντων βρυγμός, ἄμυνα τῆς παρακοῆς, σέ περιμένει. Φοβήθητι, φιμώθητι, φύγε· μή ὑποστρέψῃς, μῆ ὑποκρυβῇς μεθ' ἑτέρας πονηρίας πνευμάτων ἀκαθάρτων, ἀλλά ἄπελθε εἰς γῆν ἄνυδρον, ἔρημον ἀγεώργητον, ἣν ἄνθρωπος οὐκ οἰκεῖ, Θεός μόνος ἐπισκοπεῖ, ὁ δεσμεύων πάντας τούς βασκαίνοντας καί

ἐπιβουλεύοντας τῇ αὐτοῦ εἰκόνι, καί σειραῖς ζόφου ταρταρώσας εἰς μακράν νύκτα καί ἡμέραν σέ πάντων τῶν κακῶν πεπειραμένον καί ἐφευρέτην Διάβολον· ὅτι μέγας ὁ φόβος τοῦ Θεοῦ, καί μεγάλη ἡ δόξα τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

## ΤΡΙΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεός τῶν οὐρανῶν, ὁ Θεός τῶν φώτων, ὁ Θεός τῶν Ἀγγέλων τῶν ὑπό τήν σήν ἰσχύν, ὁ Θεός τῶν Ἀρχαγγέλων τῶν ὑπό τό σόν κράτος, ὁ Θεός τῶν ἐνδόξων Κυριοτήτων, ὁ Θεός τῶν Ἁγίων, ὁ Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τάς δεσμευθείσας τῷ θανάτῳ ψυχάς λύσας· ὁ τόν προσηλωθέντα ἄνθρωπον τῷ σκότει, διά τοῦ μονογενοῦς σου Υἱοῦ φωτίσας· ὁ λύσας τάς ὀδύνας ἡμῶν καί πᾶν βάρος ἀποσκεδάσας· ὁ πᾶσαν τήν προσβολήν τοῦ ἐχθροῦ ἀφ᾿ ἡμῶν χωρίσας· καί σύ, Υἱέ καί Λόγε τοῦ Θεοῦ, ὁ ἀπαθανατίσας ἡμάς τῷ θανάτῳ σου καί δοξάσας ἡμᾶς τῇ δόξῃ σου· ὁ ἐξ ἀνθρώπων χωρεῖς εἰς Θεόν, ἐγέρσει τῇ σῇ χαρισάμενος· ὁ πάντα δεσμόν τῶν ἁμαρτιῶν ἡμῶν διά τοῦ Σταυροῦ σου βαστάσας· ὁ τό σύντριμμα ἡμῶν ἀναλαβών καί ἰασάμενος,

Κύριε· ὁ ὁδοποιήσας ἡμῖν ὁδόν εἰς οὐρανούς, καί φθοράν εἰς ἀφθαρσίαν μετασκευάσας· εἰσάκουσόν μου, πόθῳ καί φόβῳ κεκραγότος πρός σέ, Οὗ τῷ φόβῳ τά ὄρη τήκονται τῆς ὑπ' οὐρανόν σύν τῷ στερεώματι· Οὗ τῇ δυνάμει ἄλαλοι στοιχείων ψυχαί φρίττουσι, τηροῦσαι τούς ἑαυτούς ὅρους· δι' Οὗ τό πῦρ τό τῆς ἐκδικήσεως οὐχ ὑπερβήσεται ὅρους τούς ταχθέντας αὐτῷ, ἀλλ' ἀναμένει στένον τῆν σήν βουλήν· δι' Ὃν πᾶσα ἡ κτίσις ὠδίνει, στενάζουσα στεναγμοῖς ἀλαλήτοις, εἰς καιρούς μένειν ἐπιταχθεῖσα· Ὃν πᾶσα φύσις ἐναντία πέφευγε, καί τοῦ ἐχθροῦ στρατιά δεδάμασται, καί διάβολος πέπτωκε, καί ὄφις πεπάτηται, καί δράκων ἀνήρηται· δι' Ὃν τά ἔθνη ὁμολογήσαντά σε ἐφωτίσθησαν καί ἐκραταιώθησαν ἐν σοί, Κύριε· δι' Ὃν ζωή πεφανέρωται, ἐλπίς ἥδρασται, ἡ πίστις κεκράτηται, τό Εὐαγγέλιον κεκήρυκται· δι' Ὃν ὁ ἄνθρωπος ἐκ τῆς γῆς ἀναπέπλασται, πιστεῦσας ἐν σοί. Τίς γάρ ἐστιν ὡς σύ, Θεός παντοκράτωρ; Διό δεόμεθά σου, Θεέ Πατέρων καί Κύριε τοῦ ἐλέους, προαιώνιε καί ὑπερούσιε· τόν πρός σέ ἐληλυθότα ἐπί τῷ ἁγίῳ ὀνόματί σου, καί τοῦ ἠγαπημένου σου παιδός Ἰησοῦ Χριστοῦ, καί τοῦ Ἁγίου καί παντοδυνάμου καί ζωοποιοῦ σου Πνεύματος πρόσδεξαι. Ἀποσόβησον ἀπό τῆς ψυχῆς αὐτοῦ

πᾶσαν μαλακίαν, πᾶσαν ἀπιστίαν, πᾶν πνεῦμα ἀκάθαρτον, σπαρακτικόν, καταχθόνιον, πύρινον, δυσωδιακόν, ἐπιθυμητικόν, φιλόχρυσον, φιλάργυρον, τυφωνικόν, πορνικόν, πᾶν δαιμόνιον ἀκάθαρτον, σκοτεινόν, ἄμορφον, ἀναιδές. Ναί, ὁ Θεός, ἀπέλασον ἀπό τοῦ δούλου σου (τοῦ δεῖνος) πᾶσαν ἐνέργειαν τοῦ διαβόλου, πᾶσαν μαγείαν, πᾶσαν φαρμακείαν, εἰδωλολατρείαν, ἀστρομαντείαν, ἀστρολογίαν, νεκρομαντείαν, ὀρνεοσκοπίαν, ἡδυπάθειαν, ἔρωτα, φιλαργυρίαν, μέθην, πορνείαν, μοιχείαν, ἀσέλγειαν, ἀναίδειαν, ὀργήν, φιλονεικίαν, ἀκαταστασίαν καί πᾶσαν ὑπόνοιαν πονηράν. Ναί, Κύριε, ὁ Θεός ἡμῶν ἐμφύσησον ἐν αὐτῷ τό Πνεῦμα σου τό εἰρηνικόν, ὅπως φρουρούμενος ὑπ᾽ αὐτοῦ, ποιήση καρπόν πίστεως, ἀρετῆς, σοφίας, ἁγνείας, ἐγκρατείας, ἀγάπης, χρηστότητος, ἐλπίδος, πραότητος, μακροθυμίας, ὑπομονής, σωφροσύνης, συνέσεως· ὅτι σοί ἐπικέκληται δοῦλος, ἐπί τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, πιστεύων είς τήν ὁμοούσιον Τριάδα, συμμαρτυρούντων Ἀγγέλων, Ἀρχαγγέλων, ἐνδόξων Κυριοτήτων, καί πάσης οὐρανίου στρατιᾶς. Σύν τούτῳ φύλαξον καί τάς καρδίας ἡμῶν, ὅτι δυνατός εἶ Κύριε· καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΞΟΡΚΙΣΜΟΙ
# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ



Τῇ 25ῃ τοῦ μηνὸς Ἰανουαρίου, Μνήμη τοῦ ἐν Ἁγίοις πατρός ἡμῶν Ἀρχιεπισκόπου Κων/πόλεως, τοῦ Θεολόγου

Ἀπολυτίκιον.

Ἦχος α΄.

Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας σου, τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας· ὡς γὰρ τὰ βάθη τοῦ Πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Θεολόγῳ γλώττῃ σου, τὰς συμπλοκὰς τῶν ῥητόρων, διαλύσας ἔνδοξε, ὀρθοδοξίας χιτῶνα, ἄνωθεν ἐξυφανθέντα τὴν Ἐκκλησίαν ἐστόλισας, ὃν καὶ φοροῦσα σὺν ἡμῖν κράζει, τοῖς σοῖς τέκνοις· χαίροις Πάτερ, θεολογίας νοῦς ὁ ἀκρότατος.

Μεγαλυνάριον.

Χαίροις ὁ οὐράνιος θεῖος νοῦς, στόμα τὸ πυρίπνουν, ὁ τῆς χάριτος ὀφθαλμός, σάλπιγξ εὐσεβείας, πηγὴ θεολογίας, ὑπερκοσμίων μύστης, σοφὲ Γρηγόριε.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

Ἐν ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διά τῆς χάριτος τοῦ Θεοῦ τοῦ Παντοκράτορος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξορκίζω σε πνεῦμα ἀκάθαρτον, φοβήθητι τό μέγα ὄνομα αὐτοῦ· Ἐξορκίζω σε κατά τοῦ ἐμφύσαντος τοῖς ἀνθρώποις εἰς ζωήν αἰώνιον, οὗ τό ὄνομα ἅγιον καί μέγα καί προσκυνητόν, καί φοβερόν ἐν πάσῃ τῇ κτίσει· Ἐξορκίζω σε κατά τοῦ κελεύσαντος τήν θάλασσα τοῦ μή ὑπερβαίνειν τόν ἴδιον ὅρον, ἄχρις ἄν ἔλθῃ ὁ Κύριος κρῖναι τόν κόσμον, οὗ τό ὄνομα μέγα καί φοβερόν καί μή δυνάμενον ἐν στόματι ἀνθρώπου λαληθῆναι· Ἐξορκίζω σε κατά τοῦ ἐρχομένου διά πυρός καί θείου καί ἀσφάλτου καί σάλπιγγος, οὗ φανέντος, ὅ οὐρανός φεύξεται ἐπί δυσμάς, καί πύρινος οὐρανός φανήσεται, καί τά ἄστρα πεσοῦνται, καί τότε φυλαί πρός φυλάς, καί λαοί πρός λαούς· Ἐξορκίζω σε, εἰς τόν καταβάντα εἰς τά κατώτερα μέρη τῆς γῆς καί διαῤῥήξαντα τάς ἀδαμαντίνους. Ὁρκίζω σε κατά τοῦ ἐρχομένου πῆξαι βῆμα ἀνάμεσον

οὐρανοῦ καί γῆς κρῖναι πᾶν γένος ἀνθρώπων. Καί σύ γοῦν πνεῦμα πονηρόν, φοβήθητι τήν γέεναν τοῦ πυρός τοῦ παμφάγου· φοβήθητι τόν ἑτοιμάσαντά σε πῦρ καί θεῖον καί ἄσφαλτον τῷ παλαμναίῳ· φοβήθητι τόν ὀφθέντα ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ὅν ἰδών ὁ Ἰορδάνης ποταμός ὑπεχώρησεν εἰς τά ὀπίσω. Καί σύ πνεῦμα πονηρόν φοβήθητι καί ἀναχώρησον ἀπό τοῦ πλάσματος τούτου. Ὁρκίζω σε, κατά τοῦ ποιήσαντος τόν οὐρανόν, καί τήν γῆν, καί τήν θάλασσα, καί πάντα τά ἐν αὐτοῖς. Ὁρκίζω σε εἰς τόν ἀναβαλλόμενον τό φῶς ὥσπερ ἱμάτιον, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς εἰκών ἀπρόσιτον· ὅτι εὐλογητός εἶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ἐπί ὀνόματος τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Θεός ὁ μέγας καί ἰσχυρός καί φοβερός τοῖς ὑπεναντίοις, ἐξορκίζει ὑμᾶς τά πνεύματα τά πονηρά ἀπό τοῦ δούλου τοῦ Θεοῦ (δεῖνα) τό γένος τό ἀναιδές, τό πρόσωπον τό ζοφερόν,

τό ἀναίσχυντον, ἡ ρίζα τῆς πλάνης, ἡ ἀρχή τῆς ἁμαρτίας, τά ξύλα τῆς γεένης, τά δαιμόνια τά σκοτεινά, τά βρώματα τοῦ πυρός, τά δαιμόνια τά πονηρά, τά τερπόμενα ἐν τοῖς κτήνεσι, τά τέκνα τοῦ διαβόλου τά ἀντικείμενα, τά πετώμενα ἐπί τοῦ οὐρανοῦ τά πετώμενα ἐν τῷ ἀέρι, τά πετώμενα ἐν τῷ αἰθέρι, τά ἐπί τῆς γῆς οἰκοῦντα ἐν τοῖς ἐρήμοις τόποις, τά ὑποκάτω τῆς ἀβύσσου οἰκοῦντα, τά ἐν τοῖς ὄρεσι διατρίβοντα, τά ἐπί τούς βουνούς ἀναπαυόμενα, τά καθήμενα ἐν ταῖς νάπαις, τά κατοικοῦντα εἰς τά πολυάδρια, τά καταβαίνοντα εἰς τάς πλατείας, τά καταμένοντα εἰς τά σπήλαια, τά ὑποδύνοντα εἰς τάς ῥαγάδας, τά κατακρυπτόμενα ἐν ταῖς τρώγλαις τῶν πετρῶν, τά ἀναπαυόμενα εἰς τά ἄλση, τά κατακρυπτόμενα ἐν ἀνύδροις καί συμφύτοις τόποις, τά συσκιάζοντα ὑπό τά δέντρα, τά ἀπαντῶτα εἰς τάς ὁδούς, τά καθήμενα ὑπό τῶν ὑδάτων, τά πρός τούς κρημνούς πελιαζόμενα, τά περιπατοῦντα ἐπί φαράγγων, τά περιπλέοντα τούς ποταμούς, τά ἐρχόμενα ἐπί τῶν πηγῶν, τά διανυκτερεύοντα εἰς τάς πλατείας, τά περικυκλοῦντα τά ἄμφοδα, τά ἐν βαλανίοις οἰκοῦντα, ἤ καί ὅθεν δήποτε ἔστε ἐρχόμενα· ἐκδιώχθητε τῷ ἐμφυσήματι τοῦ Θεοῦ, εἰς ἐκδίκησιν ἀνεμπόδιστον, εἰς κλίβα-

νον πυρός ὄντες τῆς γεένης τό αἰώνιον, εἰς τό πῦρ τό ἄσβεστον, εἰς κόλασιν ἀκατάπαυστον, εἰς κρίσιν ἀνελεῆ, εἰς στρέβλωσιν κραταιών, εἰς οἰκισμόν πυροειδῆ, εἰς ἐπιτίμησιν ἀπινῆ. Ἐξορκίζω ὑμᾶς καί τό γένος τό ἀναιδές ἐπί τήν καλιάν ὑμῶν τήν δύσμορφον καί πολύμορφον ἐπί τό σχῆμα ὑμῶν τό ἀλογώτατον, οὐκ ἐπί τῆν μορφῆν, οὐκ ἐπί τήν εἰκόνα, οὐκ ἐπί τῷ πλάσματι, οὐκ ἐπί τῷ κτίσματι τοῦ Θεοῦ, ἐπιτιμήσας ὑμῖν, ὅτι μέγας ὁ φόβος τοῦ Θεοῦ, καί μεγάλη ἡ δόξα αὐτοῦ, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμῆν.

## ΤΡΙΤΗ ΕΥΧΗ

**Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.**

Ὁ Θεός, ὁ Θεός ἡμῶν ἐξορκίζει τά πνεύματα τᾶ ἀκάθαρτα, ἀπό τόν δοῦλον τοῦ Θεοῦ (δεῖνα). Φοβήθητι τόν Κύριον ἡμῶν καί Σωτῆρα Χριστόν, τόν ἐπί Ποντίου Πιλάτου ὅμολογῆσαντα τήν καλήν ὁμολογίαν, τόν ῥαπισθέντα καί μαστιγωθέντα φραγκελωθέντα, τυφθέντα μέ κάλαμον καί σταυρωθέντα καί ταφέντα καί ἐγερθέντα, τῇ τρίτη ἡμέρᾳ, κατά τάς Γραφάς, ὅς καί συνήγειρε σώματα πολλά ἁγίων ἀνδρῶν, τόν φανερώσαντα

ἑαυτόν πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ καί τῇ ἄλλῃ Μαρίᾳ, ἔπειτα τοῖς ἑαυτοῦ μαθηταῖς, τόν ἀνελθόντα εἰς τούς οὐρανούς καί καθίσαντα ἐκ δεξιῶν τοῦ Πατρός καί πάλιν ἐρχόμενον κρῖναι ζῶντας καί νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· τόν ἀποστείλαντα τούς ἑκατόν μαθητάς κηρύξαι τόν λόγον εἰς πάντα τά ἔθνη καί τούς πιστεύοντας βαπτίσαι, εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος· αὐτός ὑμᾶς ἀπελάσει ἀπό τοῦ γένους τῶν ἀνθρώπων καί ἀπό τόν δοῦλον τοῦ Θεοῦ (δεῖνα), καί παντός τοῦ οἴκου αὐτοῦ καί μή ἔχητε κοινωνίαν μετ᾽ αὐτοῦ, ἀλλά τούς ἐπ᾽ αὐτόν πιστεύοντας δοξάζειν πάντοτε τόν Πατέρα καί τόν Υἱόν καί τό Ἅγιον Πνεῦμα τήν μίαν καί ἀχώριστον, καί ζωαρχικήν Τριάδα, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΑΙ
## ΔΙΑ ΤΑΣ ΑΥΤΑΣ ΑΣΘΕΝΕΙΑΣ
## ΤΟΥ ΑΓΙΟΥ
## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ




**Τῇ 13ῃ τοῦ μηνὸς Νοεμβρίου, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν ΙΩΑΝΝΟΥ, ἀρχιεπισκόπου Κων/πόλεως, τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ**

## Ἀπολυτίκιον.

Ἦχος πλ. δ΄

Η τοῦ στόματός σου, καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον.

Ἦχος πλ. β΄. Τὴν ὑπὲρ ἡμῶν

Ἐκ τῶν οὐρανῶν, ἐδέξω τὴν Θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν· Ἰωάννη Χρυσόστομε, παμμακάριστε ὅσιε, ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ Θεῖα σαφῶν.

## Μεγαλυνάριον.

Χαίροις ὁ χρυσόρρειθρος ποταμός, ὁ τὴν οἰκουμένην καταρδεύων νᾶμα χρυσοῦν· χαίροις ὁ τὴν γλῶτταν, χρυσοῦς καὶ τὴν καρδίαν, Χρυσόστομε τρισμάκαρ Πατριαρχῶν ἡ κρηπίς.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεός ὁ αἰώνιος, ὁ λυτρωσάμενος τό γένος τῶν ἀνθρώπων ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, ρῦσαι τόν δοῦλον σου, (τόν δε) ἀπό πάσης ἐνεργείας πνευμάτων ἀκαθάρτων, ἐπίταξον τοῖς πονηροῖς καί ἀκαθάρτοις πνεύμασί τε καί δαίμοσιν, ἀποστῆναι τῆς ψυχῆς καί τοῦ σώματος τοῦ δούλου σου (τοῦδε), καί μή ἐμμένειν, μηδέ ἐγκρύπτεσθαι ἐν αὐτῷ. Φυγαδευθείησαν τῷ ὀνόματί σου τῷ Ἁγίῳ καί τοῦ μονογενοῦς σου Υἱοῦ, καί τοῦ ζωοποιοῦ σου Πνεύματος, ἀπό τοῦ πλάσματος τῶν χειρῶν σου· ἵνα καθαρισθείς ἀπό πάσης ἐπηρείας διαβολικῆς, ὁσίως καί δικαίως καί εὐσεβῶς ζήσῃ, ἀξιούμενος τῶν ἀχράντων μυστηρίων τοῦ μονογενοῦς σου Υἱοῦ καί Θεοῦ ἡμῶν· μεθ' οὗ εὐλογητός εἶ καί δεδοξασμένος, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ πᾶσιν ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας, καί δυνάμει ρήματος ἐκδιώξας τόν λεγεῶνα,

ἐπιφάνηθι καί νῦν διά τοῦ μονογενοῦς σου Υἱοῦ ἐπί τό πλάσμα, ὅ κατ' εἰκόνα σου ἐποίησας, καί ἐξελοῦ αὐτό καταδυναστευόμενον ὑπό τοῦ ἀντικειμένου· ἵνα, ἐλεηθέν καί καθαρισθέν, ένταγῇ τῇ ἁγίᾳ σου ποίμνῃ καί φυλαχθῇ ναός ἔμψυχος τοῦ Ἁγίου Πνεύματος, καί τῶν θείων ἀχράντων Ἁγιασμάτων· χάριτι καί οἰκτιρμοῖς, καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητός εἶ σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΡΙΤΗ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπικαλούμεθά σε, Δέσποτα, Θεέ παντοκράτωρ, ὕψιστε ἀπείραστε, εἰρηνικέ Βασιλεῦ· ἐπικαλούμεθά σε τόν ποιήσαντα τόν οὐρανόν καί τήν γῆν· ἐκ σοῦ γάρ ἀνεφύη καί τό Α καί τό Ω, ἡ Ἀρχή καί τό Τέλος· ὁ δούς τοῖς ἀνθρώποις ὑπακούειν τετράποδα καί ἄλογα ζῶα, ὅτι σύ ὑπέταξας αὐτά, Κύριε· ἔκτεινον τήν χεῖρα σου τήν κραταιάν, καί τόν βραχίονά σου τόν ὑψηλόν καί τόν ἅγιον, καί ἐπισκοπῶν ἐπισκόπησον τό πλάσμα σου τοῦτο· καί κατάπεμψον αὐτῷ Ἄγγελον εἰρηνικόν, Ἄγγελον

κραταιόν ψυχῆς καί σώματος φύλακα, ὅς ἐπιτιμήσει καί ἀπελάσει ἀπ' αὐτοῦ πᾶν πονηρόν καί ἀκάθαρτον δαιμόνιον· ὅτι σύ Κύριος μόνος, ὕψιστος, παντοκράτωρ, εὐλογητός είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΕΤΑΡΤΗ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

Τήν θείαν τε καί ἁγίαν, καί μεγάλην, καί φρικτήν, καί ἄστεκτον ὀνομασίαν καί ἐπίκλησιν ποιοῦμεν πρός τήν σήν ἐξέλασιν, ἀποστάτα· ὡσαύτως καί ἐπιτίμησιν είς τήν σήν ἐξολόθρευσιν, Διάβολε. Ὁ Θεός, ὁ ἅγιος, ὁ ἄναρχος, ὁ φοβερός, ὁ ἀόρατος τῇ οὐσίᾳ, ὁ ἀνείκαστος τῇ δυνάμει καί ἀκατάληπτος τῇ θεότητι, ὁ Βασιλεύς τῆς δόξης καί παντοκράτωρ Δεσπότης, ἐπιτιμήσει σοι, Διάβολε, ὁ ἐκ τοῦ μή ὄντος είς τό εἶναι τά πάντα εὐπραγῶς λόγῳ συστησάμενος, ὁ περιπατῶν ἐπί πτερύγων ἀνέμων. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ προσκαλούμενος τό ὕδωρ τῆς θαλάσσης καί ἐκχέων αὐτό ἐπί πρόσωπον πάσης τῆς γῆς· Κύριος τῶν δυνάμεων ὄνομα αὐτῷ. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ ὑπό τῶν ἀναριθμήτων οὐρανίων ταγμάτων πυρίνων φόβῳ λειτουρ-

γούμενος καί ὑμνούμενος, καί ὑπό πλήθους χορῶν ἀγγελικῶν καί ἀρχαγγελικῶν τρόμῳ προσκυνούμενος καί δοξαζόμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τιμώμενος ὑπό τῶν κύκλωθεν παρεστωσῶν Δυνάμεων, καί φρικωδεστάτων Ἑξαπτερύγων, καί πολυομμάτων Χερουβείμ καί Σεραφείμ, τῶν τά πρόσωπα ἑαυτῶν ταῖς δυσί πτέρυξι σκεπόντων, διά τὴν ἀθεώρητον αὐτοῦ καί ἀνεξιχνίαστον Θεότητα, καί ταῖς δυσί πτέρυξι τούς ἑαυτῶν πόδας καλυπτόντων, εἰς τό μή κατακαυθῆναι ἐκ τῆς ἀρρήτου δόξης καί ἀκατανοήτου μεγαλειότητος αὐτοῦ, καί ταῖς δυσί πτέρυξι πετομένων, καί τὸν οὐρανόν πληρούντων ἐκ τῆς βοῆς αὐτῶν· " Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανός καί ἡ γῆ τῆς δόξης αὐτοῦ". Ἐπιτιμᾷ σοι, Κύριος, Διάβολε, ὁ ἐκ τοῦ κόλπου τοῦ πατρικοῦ καταβάς ἐξ οὐρανοῦ Θεός Λόγος, καί διά τῆς ἐκ Παρθένου ἁγίας, προσκυνητῆς, ἀφράστου καί ἀχράντου σαρκώσεως ἀνεκλαλήτως φανείς ἐν τῷ κόσμῳ, τοῦ σῶσαι αὐτόν, καί τῇ αὐθεντικῇ αὐτοῦ δυνάμει ῥίψας σε οὐρανόθεν καί ἀπόβλητον παντί δείξας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ εἰπών τῇ θαλάσσῃ· "Σιώπα, πεφίμωσο"· καί τῷ κελεύσματι εὐθέως ἐκόπασεν. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τῷ ἀχράντῳ πτυέλῳ πηλόν

ποιήσας, καί τό ἐλλεῖπον μέλος τῷ ἐκ γενετῆς τυφλῷ διαπλᾶσας, καί τό φῶς χαρισάμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τήν θυγατέρα τοῦ Ἀρχισυναγώγου λόγῳ ζωοποιήσας καί τῆς χήρας τόν υἱόν ἐκ στόματος τοῦ θανάτου ἀφαρπᾶσας, καί τῇ ἰδίᾳ μητρί ὁλόκληρον καί ὑγιῆ αὐτόν χαρισάμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τόν Λάζαρον ἐν νεκρῶν τετραήμερον, ἄσηπον, ὡς μή θανόντα καί ἄσπιλον εἰς ἔκπληξιν τῶν πολλῶν ἀναστήσας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ διά τοῦ ραπίσματος τήν κατάραν καταργήσας, καί διά τῆς λόγχης τῆς ἀχράντου πλευρᾶς αὐτοῦ τήν τόν Παράδεισον φυλάττουσαν φλογίνην ρομφαίαν ἀναστείλας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ διά τοῦ ἐμτῦσματος τοῦ τιμίου αὐτοῦ χαρακτῆρος πᾶν δάκρυον ἐκ παντός προσώπου ἐκμάξας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ πήξας τόν Σταυρόν εἰς στήριγμα ἕν, καί σωτηρίαν κόσμου, εἰς πτῶσιν δέ σήν, καί πάντων τῶν ὑπό σέ ἀγγέλων. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ δούς φωνήν ἐν τῷ Σταυρῷ αὐτοῦ, καί τό καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη καί αἱ πέτραι διερράγησαν, καί τά μνημεῖα ἀνεῷχθησαν, καί οἱ ἀπ᾽ αἰῶνος θανόντες ἀνέστησαν. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ θανάτῳ θάνατον θανατώσας, καί ζωήν τῇ ἐγέρσει αὐτοῦ τοῖς

ἀνθρώποις χαρισάμενος. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ καταβάς εἰς τόν Ἅδην, καί τά μνημεῖα αὐτοῦ ἐκτινάξας, καί πάντας τούς ἐν αὐτῷ κατεχομένους δεσμίους ἐλευθερώσας, καί πρός ἑαυτόν ἀνακαλεσάμενος· ὅν οἱ πυλωροί τοῦ Ἅδου ἰδόντες ἔφριξαν καί ἀγωνίᾳ τοῦ Ἅδου κρυβέντες ἐξέλιπον. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ ἐκ νεκρῶν ἀναστάς Χριστός ὁ Θεός ἡμῶν, καί πᾶσι τήν Ἀνάστασιν αὐτοῦ χαρισάμενος.

Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ εἰς οὐρανούς ἐν δόξῃ ἀναληφθείς πρός τόν πατέρα αὐτοῦ, καί ἐκ δεξιῶν τῆς μεγαλωσύνης ἐπί θρόνου δόξης καθήμενος. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ πάλιν ἐρχόμενος μετά δόξης ἐπί τῶν νεφελῶν τοῦ οὐρανοῦ μετά τῶν ἁγίων Ἀγγέλων αὐτοῦ, κρῖναι ζῶντας καί νεκρούς. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ τό πῦρ τό ἄσβεστον καί σκώληκα τόν ἀκοίμητον, καί σκότος τό ἐξώτερον ἑτοιμάσας σοι εἰς αἰώνιον κόλασιν. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὅν πάντα φρίσσει καί τρέμει ἀπό προσώπου τῆς δυνάμεως αὐτοῦ, ὅτι ἄστεκτος ἡ ὀργή τῆς ἐπί σέ ἀπειλῆς αὐτοῦ. Αὐτός ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, διά τοῦ φοβεροῦ αὐτοῦ Ὀνόματος. Φρῖξον, τρόμαξον, φοβήθητι, ἀναχώρησον, ἐξολοθρεύθητι, φυγαδεύθητι, ὁ πεσών οὐρανόθεν, καί σύν σοί

πάντα τά πονηρά πνεύματα· πᾶν πνεῦμα πονηρόν, πνεῦμα ἀσελγείας, πνεῦμα πονηρίας, πνεῦμα νυκτερινόν καί ἡμερινόν, μεσημβρινόν τε καί ἑσπερινόν· πνεῦμα μεσονυκτικόν, πνεῦμα φανταστικόν, πνεῦμα συναντικόν· εἴτε χερσαῖον, εἴτε ἔνυδρον, εἴτε ἐν ἄλσεσι, εἴτε ἐν καλάμοις, εἴτε ἐν φάραγξιν, εἴτε ἐν διόδοις καί τριόδοις, ἐν λίμναις, ἐν ποταμοῖς, ἐν οἴκοις, ἐν αὐλαῖς καί ἐν βαλανείοις παρατρέχον, καί βλάπτον καί ἀλλοιοῦν τόν νοῦν τοῦ ἀνθρώπου· συντόμως ἀναχωρήσατε ἀπό τοῦ πλάσματος τοῦ δημιουργοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καί ἀπαλλάχθητε ἀπό τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε) ἀπό τοῦ νοός, ἀπό τῆς ψυχῆς, ἀπό τῆς καρδίας, ἀπό τῶν νεφρῶν, ἀπό τῶν αἰσθήσεων, ἀπό πάντων τῶν μελῶν, πρός τό εἶναι αὐτόν ὑγιῆ, καί ὁλόκληρον, καί ἐλεύθερον, ἐπιγνώσκοντα τόν ἴδιον Δεσπότην καί δημιουργόν τῶν ἁπάντων Θεόν, τόν ἐπισυναγόντα τούς πεπλανημένους καί διδόντα αὐτοῖς σφραγῖδα σωτηρίας, διά τῆς ἀναγεννήσεως καί ἀνακαινίσεως τοῦ θείου βαπτίσματος, εἰς τό καταξιωθῆναι αὐτόν τῶν ἀχράντων καί ἐπουρανίων φρικτῶν αὐτοῦ Μυστηρίων, καί ἑνωθῆναι τῇ αὐτοῦ ποίμνῃ τῇ ἀληθινῇ, εἰς τόπον χλόης κατασκηνοῦντα, καί ἐπί ὕδατος ἀναπαύσεως ἐκτρεφόμενον, καί

ὑπὸ βακτηρίας τοῦ Σταυροῦ ποιμαντικῶς καὶ ἀσφαλῶς ὁδηγούμενον, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



## ΕΥΧΗ ΕΙΣ ΒΑΣΚΑΝΙΑΝ

Κύριε ὁ Θεός ἡμῶν, ὁ Βασιλεύς τῶν αἰώνων, ὁ παντοκράτωρ καί παντοδύναμος, ὁ ποιῶν πάντα καί μετασκευάζων μόνῳ τῷ βούλεσθαι· ὁ τήν ἑπταπλάσιον κάμινον καί τήν φλόγα τήν ἐν Βαβυλῶνι εἰς δρόσον μεταβαλῶν, καί τούς ἁγίους σου τρεῖς Παῖδας σώους διαφυλάξας· ὁ ἰατρός καί θεραπευτής τῶν ψυχῶν ἡμῶν· ἡ ἀσφάλεια τῶν εἰς σέ ἐλπιζόντων· σοῦ δεόμεθα καί παρακαλοῦμεν, ἀπόστησον, φυγάδευσον καί ἀπέλασον πᾶσαν διαβολικήν ἐνέργειαν, πᾶσαν σατανικήν ἔφοδον καί πᾶσαν ἐπιβουλήν, περιέργειαν τε πονηράν καί βλάβην καί ὀφθαλμῶν βασκανίαν τῶν κακοποιῶν καί πονηρῶν ἀνθρώπων ἀπό τοῦ δούλου σου (τοῦδε) καί ἥ ὑπό ὡραιότητος ἤ ἀνδρείας ἤ εὐτυχίας ἤ ζήλου καί φθόνου ἤ βασκανίας συνέβη, αὐτός φιλάνθρωπε Δέσποτα, ἔκτεινον τήν κραταιάν σου χεῖρα καί τόν βραχίονά σου τόν ἰσχυρόν καί ὕψιστον, καί ἐπισκοπῶν ἐπισκόπησον τό πλάσμα σου τοῦτο, καί κατάπεμψον αὐτῷ Ἄγγελον εἰρηνικόν, κραταιόν ψυχῆς καί σώματος φύλακα, ὅς ἐπιτιμήσει καί ἀπελάσει ἀπ' αὐτοῦ πᾶσαν πονηράν βουλήν, πᾶσαν φαρμακείαν καί βασκανίαν τῶν φθοροποιῶν καί φθονερῶν ἀνθρώπων· ἵνα

ὑπό σοῦ ὁ σός ἱκέτης φρουρούμενος, μετ' εὐχαριστίας ψάλλῃ σοι. "Κύριος ἐμοί βοηθός, καί οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος"· καί πάλιν. "Οὐ φοβηθήσομαι κακά, ὅτι ἐσύ μετ' ἐμοῦ εἶ"· ὅτι σύ εἶ ὁ Θεός, κραταίωμά μου, ἰσχυρός ἐξουσιαστής, ἄρχων εἰρήνης, πατήρ τοῦ μέλλοντος αἰῶνος. Ναί, Κύριε ὁ Θεός ἡμῶν, φεῖσαι τοῦ πλάσματός σου, καί σῶσον τόν δοῦλον σου ἀπό πάσης βλάβης καί ἐπηρείας τῆς ἐκ βασκανίας γινομένης, καί ἀνώτερον αὐτόν παντός κακοῦ διαφύλαξον· πρεσβείαις τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, τῶν φωτοειδῶν Ἀρχαγγέλων, καί πάντων σου τῶν Ἁγίων. Ἀμήν.

# ΙΕΡΑΙ ΕΥΧΑΙ
# ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
# ΚΥΠΡΙΑΝΟΥ
# ΠΡΟΣ ΔΙΑΛΥΣΙΝ ΤΩΝ ΜΑΓΙΩΝ



Ἱερὰ θαυματουργὸς Εἰκὼν τῆς Ὑπεραγίας
Θεοτόκου τῆς Ἱεροσολυμιτίσσης



Τῇ 2α τοῦ μηνὸς Ὀκτωβρίου, Μνήμη τοῦ ἐν ἁγίοις
Πατρὸς ἡμῶν Κυπριανοῦ τοῦ ἱερομάρτυρος,
καὶ τῆς Ἁγίας Μάρτυρος Ἰουστίνης τῆς Παρθένου.

### Τό ἀπολυτίκιον.
Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες, θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἀπολυτίκιον.
Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, τῇ φωταυγείᾳ, σκότος ἔλιπες, τῆς ἀσεβείας, καὶ φωστὴρ τῆς ἀληθείας γεγένησαι· ποιμαντικῶς γὰρ φαιδρύνας τὸν βίον σου, Κυπριανὲ τῇ ἀθλήσει δεδόξασαι. Πάτερ Ὅσιε, τὸν Κτίστην ἡμῖν ἱλέωσαι, ὁμοῦ σὺν Ἰουστίνῃ τῇ Θεόφρονι.

### Κοντάκιον.
Ἦχος α΄. Χορός Ἀγγελικός.

Ἐκ τέχνης μαγικῆς, ἐπιστρέψας θεόφρον, πρὸς γνῶσιν θεϊκήν, ἀνεδείχθης τῷ κόσμῳ, ἀκέστωρ σοφώτατος, τὰς ἰάσεις δωρούμενος, τοῖς τιμῶσί σε, Κυπριανὲ σὺν Ἰουστίνῃ· μεθ' ἧς πρέσβευε, τῷ Φιλανθρώπῳ Δεσπότῃ, σωθῆναι τοὺς δούλους σου.

### Μεγαλυνάριον

Πλάνης, σοφιστείας ἀπολιπών, τῆς θείας σοφίας, ἀνεδείχθης, λαμπρὸς φωστήρ, καὶ σὺν Ἰουστίνῃ, Κυπριανὲ ἀθλήσας, τῆς ἄνω βασιλείας, ἄμφω ἐτύχετε.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κῦριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ὁ κρατῶν καί κυβερνῶν τά πάντα, Ἅγιος καί δεδοξασμένος ὑπάρχεις. Διό Βασιλεῦ τῶν Βασιλευόντων καί Κύριε τῶν Κυριευόντων δόξα σοι. Ὁ καθήμενος ἐν τῷ φωτί τῷ ἀπείρῳ καί ἀπροσίτῳ βροτοῖς, ὅπερ εἶδον δυνάμεις χιλιάδες καί μυριάδες Ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων. Σύ γιγνώσκεις τά κρύφια τοῦ ταπεινοῦ δούλου σου Κυπριανοῦ. Ὅτι οὐκ ἐγίνωσκον πρότερον τά σά θαυμάσια Κύριε παντοδύναμε. Σύ εἶ μόνος Κύριος Ἰησοῦς Χριστός ὁ Θεός ἡμῶν. Ὁ εὐδοκήσας ἐξ ἀναξίου γενέσθαι μέ ἄξιον καί συζησάμενος τῷ ἐν σοί πόθῳ καί ἀγάπῃ πρός ἀκοήν τῶν Ἁγίων σου Ἀποστόλων καί Ἱερομαρτύρων καί πάντων σου τῶν Ἁγίων.

Παρακαλῶ δέ τήν σήν φιλανθρωπίαν, ἵνα ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερπερισσεύῃ ἡ χάρις σου Κύριε, ὅτι ἐκράτουν τά νέφη καί οὐκ ἔβρεχον, ἔξενον τήν γῆν καί οὐκ ἔδιδε τούς καρπούς αὐτῆς. Τάς ἀμπέλους καί οὐκ ἐβλάστανον, τά ποίμνια τῶν προβάτων καί οὐκ ἐποίουν γάλα, τά αἰγίδια καί οὐκ ἐγέννων, τούς ἄνδρας καί

ούκ έσμίγοντο μετά τῶν γυναικῶν αὐτῶν, τάς μητέρας καί ούκ έτεκνοποίουν, τά πλοῖα καί ούκ ἔπλεον, τά έργαστήρια καί ούκ έργάζοντο, τούς ἀλιεῖς καί ούχ ἠλίευον, τούς κήπους καί ούκ έποίουν λάχανα, τά δένδρα καί ούκ έκαρποφόρουν, τούς ποταμούς καί ούκ ἔτρεχον, τούς μύλους καί ούκ έγύριζον, τούς ἀδελφούς καί ἀνδρόγυνα είς ἀφιλίωτον ἔχθραν ἔφερον τούς διεχῶριζον, έποίουν τό θέρος χειμῶνα καί τόν χειμῶνα θέρος, ταῦτα πάντα είργαζόμην φαντασίᾳ τελείᾳ. Ἄρτι δέ Κύριε ὁ Θεός ἡμῶν ἱκετεύω σε καί παρακαλῶ, ἵνα διά τῆς έμῆς προσευχῆς ένώπιόν Σου Θεέ καί Κύριε τοῦ Ἐλέους ὡς Θυσία εὐπρόσδεκτος γενέσθω σοι. Καί πᾶς ἄνθρωπος ἔχων πνεῦμα πονηρίας καθαρισθῇ ὅλως. Ἤ ἀγρός ἤ κῆπος ἤ κτῆμα ἤ μύλος ἤ πλοῖον ἤ ἀλιεύς ἤ μελίσσιον ἤ ἔμπορος ἤ έπιστήμων ἤ ἄρχων ἤ ἀρχόμενος ἤ τεχνίτης ἤ μεταξοσκώληξ ἤ καί ὁ δοῦλος τοῦ Θεοῦ (τάδε) σύν παντί τῷ οἴκῳ αὐτοῦ. Ἄν εἶναι δεδεμένος μέ μαγείας καί πονηρά ἔργα ἤ γοητείας ἤ ἀπό 72 γλωσσοφαγιῶν έστίν έμποδισμένος καί μαγευμένος καί έγκλείῃ 365 λόγια τῆς Μαγείας ἅτινα ἔρχονται πρός βλάβην καί κατανάλωσιν τοῦ δούλου τοῦ Θεοῦ (τάδε) σύν παντί τῷ οἴκῳ αὐτοῦ. Παρευθύς ὅπου ἀναγνωσθῇ ἡ παροῦσα ἱκετήριος δέη-

σις καί προσευχή μου ἐνώπιον τῆς Σῆς χάριτος τοῦ Θεοῦ ἐλευθερωθῇ πᾶς ὁ κόσμος καί τόπος ἐκ πάσης ὀργῆς τε καί ἀσθενείας καί ἐκ παντός δεσμοῦ καί μαγείας καί πάσης φαρμακείας καί γοητείας, πάσης βασκανίας καί καταλαλιᾶς, γλωσσοφαγιᾶς, ἀμελείας ἤ νωθρότητος, ἀκρατείας, ἀφροσύνης, ἀδυναμίας καί ἀπογνώσεως πάσης ἀδικίας καί πάσης πλάνης ἤ ἀπάτης, ἤ ἐμποδίου προερχομένων ὑπό τοῦ διαβόλου ὁμοίως καί ὁ δοῦλος τοῦ Θεοῦ (τάδε) σύν παντί τῷ οἴκῳ αὐτοῦ. Καί ἔστω λελυμένος καί λελυτρωμένος ἐν τῷ ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Καί εἴτε ἐν τῷ οὐρανῷ εἰσίν αἱ μαγεῖαι καί τά φαρμακεύματα ἐκεῖνα ἤ ἐν τῇ γῇ ἤ ἐν τῇ θαλάσσῃ ἤ ἐν παντί τόπῳ καί ἐδάφει εὐθύς τῇ ὥρᾳ ταύτῃ λυθήσονται καί καταργηθήσονται ἀπό τοῦ δούλου τοῦ Θεοῦ (τάδε) καί ἀπό παντός τοῦ οἴκου αὐτοῦ καί ἐλευθερωθήσεται ὁ δοῦλος τοῦ Θεοῦ (τάδε) καί πᾶς ὁ οἶκος αὐτοῦ ἀπό πάσης ὥρας πονηρᾶς καί γοητείας ἤ ὀφθαλμῶν πονηρῶν ἤ φθόνου ἤ καταλαλιᾶς ἤ γλωσσοφαγιάς ἤ μαγείας ἤ φαρμακείας ἤ κατάρας ἤ ἀναθέματος ἤ ἀφορισμοῦ καί πάσης βλασφημίας ἤ ἐνεργείας του. Εὐθέως ἀναχωρήσατε ἀπό τοῦ δούλου τοῦ Θεοῦ (τάδε)

πᾶσα ἡ ἐπήρεια τοῦ πονηροῦ ἐπί τῇ ἐπικλήσει τοῦ Παναγίου σου ὀνόματος τοῦ Πατρός καί τοῦ μονογενοῦς Υἱοῦ καί τοῦ Ἀγαθοῦ καί Ζωοποιοῦ Πνεύματος καί διά τῆς προσευχῆς ἐμοῦ τοῦ ταπεινοῦ καί εὐλαβοῦς δούλου σου Κυπριανοῦ φεύξονται οἱ δαίμονες, δραπετευθήσονται καί καταργηθήσονται αἱ πονηρίαι αὐτῶν, καί τά νέφη δώσωσιν ὑετόν ἐπί πᾶσαν τήν γῆν, καί ἡ γῆ δώση τά γενήματα αὐτῆς εἰς τόν καιρόν αὐτῶν, καί τά δένδρα καρποφορήσωσι, καί οἱ ἀμπελῶνες εὐφορήσωσι πλῆθος βοτρύων, καί αἱ γυναῖκες λυθήσωνται καί ἐλευθερωθήσωνται ἀπό τοῦ κακοῦ τῶν μητρῶν αὐτῶν. Ὁμοίως καί τά κτήνη τῶν ποιμένων καί πᾶς ὁ κόσμος, ἄρχων, ἢ ἀρχόμενος, ἢ κῆπος, ἢ μελισσουργός, ἢ μεταξουργός καί πᾶσαι ἡ κτῆσις λυθήσεται ἀπό παντός δεσμοῦ καί δαίμονος. Ὁμοίως καί ὁ δοῦλος τοῦ Θεοῦ (τάδε), σύν παντί τῷ οἴκῳ αὐτοῦ καί τοῖς πράγμασιν αὐτοῦ, καί ἔστω ἐλεύθερος καί λελυτρωμένος ἀπό πάσης ἀσθενείας καί ὥρας κακῆς καί παντός δαίμονος καί ἀντικειμένης δυνάμεως δεόμεθά σου, ἵνα λυθῶσι καί ἀφανισθῶσι τά πονηρά ἔργα διά τῆς ἐπικλήσεως τοῦ Παναγίου Πνεύματος τοῦ Θεοῦ Σαβαώθ.

Καί εἰ ἐν τῷ Οὐρανῷ ἔστι δεδεμένος καί ἐμποδισμένος ὁ δοῦλος τοῦ Θεοῦ (τάδε) λυθήτω,

ἤ ἐν τῇ γῇ, ἢ ἐν ἀνωφλίῳ λυθήτω, ἤ ἐν κατωφλίῳ, ἢ ἐν δέρματι ἀλόγου, ἤ ἐν σιδήρῳ, ἤ ἐν λίθῳ, ἤ ἐν ξύλῳ ἐκάρφωσαν τά πονηρά ἔργα λυθήτωσαν καί ὡσεί καπνός ἐκλιπέτωσαν, ἤ ἐν γραμματίῳ διά μελάνης, ἤ αἵματος ἀνθρώπου, ζώου, πτηνοῦ, ἰχθύος, ἤ διά μολύβδου, ἤ διά κινναβάρεως, ἤ διά ζωμοῦ λεμονίου, ἤ διά ἄλλου τινός ἔγραψαν αὐτά καί ἔθηκαν ἔν τινι τόπῳ καί διεσκέλισεν αὐτά ὁ δοῦλος τοῦ Θεοῦ (τάδε) πρός βλάβην αὐτοῦ τῇ ὥρᾳ ταύτῃ λυθήτωσαν καί καταργηθήτωσαν καί ἐκριζωθήτωσαν τά τῆς μαγείας ἔργα ἀπό τούς τόπους καί κατοικίας ἐκεῖ ὅπου ἀναγιγνώσκεται ἡ δέησίς μου καί προσευχή αὕτη, ἤ ἐν αὐλαῖς τοῦ οἴκου αὐτοῦ κατέχωσαν, ἤ διέσπειραν αὐτά, ἤ μετάλλου τινός ἐποίησαν τά κομβοδέματα ἐκεῖνα λυθήτωσαν, ἤ εἰς κόκκαλα διεπέρασαν αὐτά, ἤ ἐν τῇ θαλάσσῃ, ἤ ἐν φρέατι, ἤ ἐν μνήματι ἐρρίφθησαν λυθήτωσαν, ἤ μέ ὄνυχας ἀνθρώπων, ζώων, ἤ πτηνῶν ζώντων ἤ τεθνεώτων, ἤ μέ χῶμα τεθνεώτων ἐποίησαν τά φάρμακα ἐκεῖνα λυθήτωσαν, ἤ ὑπό πλακός ἐπλακώθησαν ἤ ἀπό πασσάλου, ἤ καρφίου ἐκαρφώθησαν, ἤ διά βελόνης ἐπέρασαν αὐτά, λυθήτωσαν τήν ὥραν ταύτην, ἤ διά ἀργύρου, ἤ χρυσοῦ, ἤ δι᾽ ἄλλου τινός μετάλλου ἐποίησαν τά πονηρά ἔργα λυθήτωσαν

τήν ὥραν ταύτην, ἤ διά μαλλίου, ἤ βαμβακίου, ἤ μετάξης, ἤ λινάρεως, ἤ κανάβεως, ἤ δι' ἄλλου τινός χόρτου ἔδεσαν ταῦτα λυθήτωσαν τήν ὥραν ταύτην, ἤ εἰς κράββατον κατέχωσαν αὐτά λυθήτωσαν τήν ὥρα ταύτην, ἤ διά βρόχου, βούρλου ἤ ἄλλου τινός ἔδεσαν, λυθήτωσαν τήν ὥραν ταύτην, ἤ ἐν ὕδατι ἐποίησαν αὐτά ἤ κούφῳ ξύλῳ ἤ κοχλάζοντι ὕδατι ἂν ἔβρασαν αὐτά λυθήτωσαν τήν ὥραν ταῦτην, ἤ ἐν αἵματι ἀνθρώπου, ζώου, ἤ πτηνοῦ, ἤ ἰχθύος ζώντων ἤ τεθνεώτων ἐποίησαν αὐτά ὡς σύ, Κύριε ὁ Θεός ἡμῶν γινώσκεις τούς τόπους καί τοὺς τρόπους καί τούς ἀνθρώπους, λυθήτωσαν τήν ὥραν ταῦτην καί διαρρηχθήτωσαν τά τῆς μαγείας ἔργα ἔνθα κεῖνται, καί τόν δοῦλον σου (τάδε) διαφύλαξον σύν παντί τῷ Οἴκῳ αὐτοῦ, τά δέ πονηρά ἔργα λυθήτωσαν καί ἀπωλεσθήτωσαν καί ὡσεί καπνός ἐκλιπέτωσαν ἀπό τόν δοῦλον τοῦ Θεοῦ (τάδε) ἐν ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος καί διά τῆς δόξης τοῦ Μεγάλου Θεοῦ τοῦ Ζῶντος συντριβήτωσαν τῇ δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ πᾶσαι αἱ ἐναντίαι δυνάμεις, ἀναχωρησάτωσαν τά τῆς Μαγείας ἔργα καί ἀπομακρυνθήτωσαν ἀπό τόν δοῦλον τοῦ Θεοῦ (τάδε) μίλια 65 πρεσβείαις τῶν μαρτύρων καί πάντων τῶν Ἁγίων

σου. Ἀμήν.

Δεόμεθά σου καί παρακαλοῦμεν σε Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ἵνα ἐλευθερώσῃς καί ζωώσῃς πᾶσαν ψυχήν πεπεδημένην καί τόν δοῦλον (τάδε) σύν παντί τῷ Οἴκῳ αὐτοῦ ὁμοίως καί τούς γράφοντας καί ἔχοντας ἐν τῷ Οἴκῳ αὐτῶν τήν προσευχήν μου αὐτήν καί τούς βαστάζοντας αὐτήν ὡς φυλακτήριον αἰώνιον, καί ἡ δεξιά σου Κύριε εἴη αὐτοῖς σκέπη καί βοήθεια καί ἔστω διά παντός ἐν τῷ οἴκῳ αὐτῶν ΧΑΡΑ ΚΑΙ ΑΓΑΛΛΙΑΣΙΣ.

Ναί, Κύριε, δεομένου σου ἐπάκουσόν μου, ἵνα ὅπου εὑρίσκεται ἡ εὐκτήριος καί ἱκετηρία αὕτη εὐχή μου λυθῇ καί ἐλευθερωθῇ πᾶς ἄνθρωπος καί ὁ οἶκος αὐτοῦ ἀπό κακῆς ὥρας, ἀπό πάσης ἀσθενείας, παντός ἀφορισμοῦ τε καί ἀναθέματος, ἀπό πάσης κατάρας, ἀπό πάσης ὀργῆς, ἐμποδίου, δυσπραγίας, καταλαλιᾶς, γλωσσοφαγιᾶς, φθόνου, βασκανίας, ἀμελείας, νωθρότητος, λαιμαργίας, ἀδυναμίας, βλακείας, ἀκρατείας, ἀφροσύνης, ὑπερηφανείας, ἀσπλαγχνίας, ἀδικίας, ἀλαζονείας καί πάσης πλάνης καί ἀπάτης διά τό ὄνομά Σου τό Ἅγιον καί δεδοξασμένον εἰς τούς Αἰῶνας Ἀμήν.

## ΕΤΕΡΑΙ ΕΥΧΑΙ ΑΓΙΟΥ ΚΥΠΡΙΑΝΟΥ

Ἀναγινωσκόμεναι πρός ἀποτροπῆν ἤ διάλυσιν πάσης μαγείας ἤ πάσης σατανικῆς ἐνεργείας.

### ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἰδού ὁ Τίμιος καί Ζωοποιός Σταυρός τοῦ Κυρίου, δι᾽ Αὐτοῦ σέ σφραγίζω καί σημειῶνω σε δοῦλε τοῦ Θεοῦ (δεῖνα), ἵνα τῇ δυνάμει τοῦ ἁγίου Πνεῦματος γένῃς καθαρόν δοχεῖον Αὐτοῦ καί ἅγιον, ἀπό πάσης ἀδικίας, μαγείας, δεσμοῦ, καί παντός κακοῦ ποιήματος, καί κακῆς μηχανουργίας· τάς ὁποίας κακουργίας πάσας καί δεσμά καί ἐπῳδάς καί σφραγίσματα καί περιεργίας μηχανάς ἐν τῷ σῶματί σου, καί περί τό σῶμα σου πεποιημένας.

Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπί Ποντίου Πιλάτου Σταυρωθέντος καί Ταφέντος καί Ἀναστάντος καί δόντος ἡμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ· ἐγώ, ὁ (δεῖνα) δοῦλος ἀνάξιος Αὐτοῦ καί ἁμαρτωλός ἱερεύς, ὁ τῇ ἐμῇ δώσας ἐξουσίᾳ παρά τῆς τοῦ Χριστοῦ Νύμφης ἁγίας Ἐκκλησίας, λύω καί λελυμένας ἔχω αὐτάς πάσας βεβαίως, σέ δέ προστάττω κατηραμένε διάβολε, καί τούς σύν σοί

ὑπουργοῦνας· τοῦ μή ἔχει ἀπό τοῦ νῦν καί ἔμπροσθεν ἐξουσίαν εἰσελθεῖν ἐν τῷ σώματι τούτῳ, ἀπό ποδός ἕως κεφαλῆς. Ἀλλά ταχέως ἐξέλθετε μετά πασῶν τῶν μηχανιῶν καί ἀδικιῶν ὑμῶν, διά τοῦ Ἐλευσομένου κρῖναι ζῶντας καί νεκρούς, καί τῆν οἰκουμένην διά πυρός. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω σε ἐξ ὀνόματος τῆς ἁγίας καί ὁμοουσίου καί ζωοποιοῦ καί ἀδιαιρέτου Τριάδος, Πατρός, Υἱοῦ καί Ἁγίου Πνεύματος καί διά πάντων καί πασῶν τῶν ἁγίων τῶν ἐν τῷ Παραδείσῳ αὐλιζομένων· ἤ διά βρώσεως ἤ πόσεως ἐγένετο ἡ μαντεία αὕτη ἐν τούτῳ τῷ πλάσματι τοῦ Θεοῦ, ἤ ὑμεῖς προσηγάγατε δαιμόνια ἀκάθαρτα, ἤ μαγικόν, ἤ ἄν ἐν τῇ βρώσει ἐκείνῃ, ἤ πόσει ἅ προσήγαγεν ἀνθρώποις μαντευόμενος, ἤ ὑμεῖς βλάψαντες τό πλάσμα τοῦ Θεοῦ τοῦτο, ἤ ἔχητε ἐξουσίαν, οἱανδήποτε καί δύναμιν, τοῦ κινῆσαι καί μετατρέψαι, ἵνα χαλάσητε, καί ἀφανίσητε τά βλαβερά ταῦτα, κατά πᾶσαν σύνθεσιν πεποιημένην κατά τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος). Ἐξελάσατε αὐτά ἐκ τῶν ἐντοσθίων αὐτοῦ, καί πέμψατε αὐτά κάτω,

ἐκ τῆς ἀναγκαίας φύσεως τοῦ πρωκτοῦ, δηλαδή ἄνευ τινός βλάβης, ψυχικῆς ἤ σωματικῆς. Ἀμήν.

## ΤΡΙΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω ὑμᾶς δαιμόνια πονηρά, παρά τοῦ Πατρός καί Υἱοῦ καί Ἁγίου Πνεύματος καί διά πασῶν τῶν ἀγγελικῶν καί θείων Δυνάμεων, τῶν τῷ Θεῷ ὑπηρετούντων καί τῶν ἁγίων αὐτοῦ Μαθητῶν καί Ἀποστόλων, καί διά τῶν ἑκατόν τεσσαράκοντα τεσσάρων χιλιάδων Μαρτύρων, ἵνα μή ἔχητε δύναμιν καί ἐξουσίαν ἐπάνω τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος). ἤ τοῦ οἴκου αὐτοῦ. Φυγαδεύθητε, ἄθλιοι καί πονηροί, ἐντεῦθεν, ἐκλείπειν ὑμᾶς ποιῆσει Κύριος, ὡς ἐκλείπει κηρός ἀπό προσώπου πυρός καί μή ἔχειν ἐξουσίαν, ἤ αὐθεντίαν, πόνους καί φόβον εἰσφέρειν, ἤ ζημίας, ἤ κακόν τι ἕτερον ἐν τῷ σώματι καί ταῖς σαρξί καί τοῖς μέλεσιν αὐτοῦ ἤ τοῦ οἴκου αὐτοῦ, διά τοῦ Ἐλευσομένου κρῖναι ζῶντας καί νεκρούς καί τῆν οἰκουμένην διά πυρός. Ἀμήν.

## ΤΕΤΑΡΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεός ἡμῶν, ὁ παντοκράτωρ καί παντοδύναμος, ὁ τοῦ οὐρανοῦ καί τῆς γῆς πάσης κτίστης καί δημιουργός, ὁ δεχόμενος τῶν ἁμαρτωλῶν τήν μετάνοιαν, καί ὡς εὔσπλαγχνος συγχωρεῖς αὐτῶν· συγνώμην παράσχου μοι τῷ ἀναξίῳ καί τῷ δούλῳ σου τούτῳ, εἰς ὅσα σοι ἡμάρτομεν ὡς ἄνθρωποι. Καί ὁ Θεός Ἀβραάμ, καί ὁ Θεός Ἰσαάκ, καί ὁ Θεός Ἰακώβ, ὁ Θεός τοῦ Μωϋσέως, ὁ Θεός τοῦ οὐρανοῦ καί τῆς γῆς, ὁ Θεός τῶν ἀγγέλων Μιχαήλ, Γαβριήλ, Οὐρουήλ καί Ραφαήλ καί πάντων τῶν οὐρανίων ταγμάτων· Χερουβείμ, Σεραφείμ, Ἀγγέλων, Ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, δυνάμεων, καί πάντων τῶν Προφητῶν καί Πατριαρχῶν, Μαρτύρων, Ὁμολογητῶν καί Παρθένων, καί διά τῶν εὐχῶν τοῦ ἁγίου Ἀποστόλου Φιλίππου· φύλαξον τόν δοῦλον (δεῖνα) τοῦ μή ἀδικῆσαι αὐτόν, ἤ βλάψαι κακόν τι, ἤ μαντικόν, ἤ τόν ἀρχέκακον διάβολον καί τούς ὑπουργοῦντας αὐτῷ, ἤ κακόν ἄνθρωπον καί πονηράν γυναῖκα, ἐν νυκτί, ἐν ἡμέρᾳ, ἤ ἐν θαλάσσῃ, ἤ ἐν ὁδῷ, ἤ ἐν περιπάτῳ, ἤ ἐν σπηλαίῳ, ἤ ἐν Ἐκκλησίᾳ, ἤ ἐν οἴκῳ, ἤ ἐν χώρᾳ, ἤ ἐν χωρίῳ, ἤ ἐν ἀγρῷ, ἤ ἐν οἱῳδήποτε τόπῳ, ἐν ὁράσει, ἐν ἀκοῇ, πίνοντα,

τρώγοντα, ἤ ἀναγινώσκοντα, καθεύδοντα, ἤ περιπατοῦντα, ἀγρυπνοῦντα ἤ κοιμώμενον, ἀναπαυόμενον ἤ ἐργαζόμενον, ἐν γέλωτι, ἐν χαρᾷ, ἤ ἐν λύπῃ, ἐν σελήνῃ νέᾳ ἤ παλαιᾷ, ἐν κεφαλῇ ἤ ἐγκεφάλῳ, ἐν τρίχεσιν, ἐν μετώπῳ, ἐν ὀφθαλμοῖς, ἐν νώτῳ ἤ ἐν μυκτῆρσιν, ἤ ἐν στόματι, ἤ ἐν φάρυγγι, ἐν ὀδοῦσι, ἤ ἐν γλώσσῃ, ἤ ἐν στήθεσι καί ὠμοπλάταις, ἐν χερσί καί βραχίοσι σύν δακτύλοις, ἐν κοιλίᾳ καί ὑπογαστρίοις, ἤπασι καί ἐντοσθίοις πᾶσιν, ἐν χολῇ καί αἵματι, ἐν σαρξί καί δερματίῳ καί πᾶσι τοῖς μέλεσι καί μέρεσι τοῦ ἀνθρώπου τούτου· ἔσωθεν καί ἔξωθεν ἀπό ποδῶν ἕως κεφαλῆς αὐτοῦ.

Ναί, Παντοκράτορ Κύριε· ἐπάκουσον τοῦ ἁμαρτωλοῦ, καί ἐλευθέρωσον τόν δοῦλον του (δεῖνα) ἀπό πάσης ἀδικίας, ἀπό πάσης μαγείας, μαντείας, δεσμοῦ καί παντός κακοῦ. Καί ὡς ἠλευθέρωσας τόν Ἀδάμ καί τήν Εὔαν ἐκ τοῦ Ἅδου, τόν μακάριον Πέτρον ἐκ τῆς φυλακῆς· τόν Παῦλον, τό σκεῦος τοῦ ἁγίου Πνεύματος ἐκ τῶν δεσμῶν· τήν Σωσάννην ἐκ τῆς ψευδομαρτυρίας· τήν Λουκίαν ἐκ τοῦ πορνοκοπίου· τόν παράλυτον ἐκ τοῦ κραββάτου· τόν Λάζαρον ἐκ τοῦ τάφου· τόν ἰσραηλιτικόν λαόν ἐκ τῆς θαλάσσης· τόν Ἰωνᾶν ἐκ τῆς κοιλίας τοῦ

κήτους· τόν Λῶτ ἐκ τῶν Σοδόμων· τούς τρεῖς παῖδας ἐκ τῆς καμίνου τοῦ πυρός τοῦ καίοντος· τόν Δανιήλ ἐκ τῶν λεόντων· τόν Δαβίδ ἐκ τοῦ φόνου· τόν Νῶε ἐκ τοῦ κατακλυσμοῦ· Μαρίαν τήν Μαγδαληνήν ἐκ τῶν ἑπτά πνευμάτων τῶν ἀκαθάρτων· τόν Εὐαγγελιτστήν ἐκ τοῦ ζέοντος ὕδατος, ἐλαίου καί ἐκ τῆς φαρμακώδους πόσεως· οὕτω Δέσποτα ἐλευθέρωσον καί τόν δοῦλον σου (δεῖνα) ἐκ τοῦ δεσμοῦ καί φαρμακίας καί πάσης πονηράς ἐπιβουλῆς τῶν ἐχθρῶν ἡμῶν· ὁρατῶν καί ἀοράτων, καί μή ἐχέτωσαν δῦναμιν, μήτε ἐξουσίαν ἐκπειράζειν αὐτόν· καί ἡ εἰρήνη τοῦ μονογενοῦς σου Υἱοῦ καί Θεοῦ ἔστω μετ' αὐτοῦ καί ἡμῶν. Ἀμήν.

## ΠΕΜΠΤΗ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε καί Θεέ τῶν Δυνάμεων καί πάσης κτίσεως Δημιουργέ, πρόσδεξαι τάς δεήσεις, ἃς προσηυξάμην Σοι διά τόν δοῦλον Σου (δεῖνα), καί δίωξον τούς ἐχθρούς ἡμῶν τούς ἀοράτους, καί πάντας τούς ἐν αὐτῷ ὑπουργοῦντας καί πᾶσαν αὐτῶν πανουργίαν καί ἀλαζονίαν καί πονηράν ἀσθένειαν, τοῦ μηδέποτε ἔχει δύναμιν ἤ ἐξουσίαν κατ' αὐτοῦ τοῦ καταδυναστεύειν ἤ ἐπηρεάζειν αὐτόν. Ἐπί Σοί γάρ Κύριε

ἤλπισεν αὐτός τε καί ἡμεῖς μή καταισχυνθείημεν εἰς τόν αἰῶνα· ἀλλ' ἐν τῇ δικαιοσύνῃ Σου καί τῇ δυνάμει Σου ἐλευθέρωσον τοῦτον. Πρεσβείαις καί ἱκεσίαις τῆς πανυπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων καί ἐπουρανίων νοερῶν καί ἀΰλων θείων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί Καλλινίκων Μαρτύρων· τῶν ὁσίων καί θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καί θαυματουργῶν Ἀναργύρων· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης καί πάντων τῶν Ἁγίων, ἀμήν.

## ΕΚΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Παντοκράτορ καί Παντοδύναμε αἰώνιε Θεέ ὁ ἐλευθερώσας τό πλάσμα τῶν χειρῶν Σου ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου καί τῶν ὑπουργούντων αὐτοῦ· πέμψον ἐπ' αὐτόν τό ἐπταπλούσιόν Σου Πνεῦμα τό ἅγιον ἐκ τῶν οὐρανῶν· Πνεῦμα σοφίας καί συνέσεως· Πνεῦμα βουλῆς καί ἰσχύος, Πνεῦμα γνώσεως καί

εὐσεβείας· Πνεῦμα φόβου Σου καί σημείωσον τῷ Σταυρῷ τοῦ Χριστοῦ Σου, εἰς τούς αἰῶνας τῶν αἰώνων, ἀμῆν.

## ΕΒΔΟΜΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Διά τό πάθος τοῦ Κυρίου ῆμῶν Ἰησοῦ Χριστοῦ· διά τῆς κολώνας ἐν ῇ ἐδέθη ὁ Χριστός· διά τοῦ ἀκανθίνου στεφάνου· διά τῆς χλαμῦδος τῆς κοκκίνης· διά τοῦ τιμίου Σταυροῦ καί τῶν ῆλων οἷς προσηλῶθη ἐν αὐτῷ καί διά τοῦ σπόγγου, δι' οὗ ἐποτίσθη ὅξος καί χολῆν καί διά τῆς λόγχης τῆς ἀνοιξάσης τῆν πλευράν Αὐτοῦ· καί διά τῆν ὕβριν καί ἐμπαιγμόν καί ὀνειδισμόν δι' ὧν ἐνεπαίχθη· καί διά τῶν ἑπτά φωνῶν ὧν Εἶπεν ἐν τῷ Σταυρῷ ἐπάνω, καί διά τῆς μετανοίας τοῦ ληστοῦ τοῦ συσταυρωθέντος Αὐτῷ· καί διά τοῦ τάφου καί τῆς ἀναστάσεως καί ἐμφανίσεως καί τῆς ἀναλήψεως εἰς τούς οὐρανούς, καί τῆς ἐλεῦσεως τοῦ ἁγίου Πνεύματος εἰς τούς ἁγίους Αὐτοῦ Μαθητάς καί Ἀποστόλους· καί διά τοῦ ἁγίου Βαπτίσματος δι' οὗ ἐσώθημεν καί σωζόμεθα· διά τοῦ ἁγίου χρίσματος καί διά τοῦ ἁγίου Ἐλαίου· διά τῶν ἁγίων Μυστηρίων τῆς ἱερουργίας· διά τῆς Ἐξομολογῆσεως δι' ῆς ἐλευθερώθημεν ἐκ τῆς δυ-

νάμεως τοῦ διαβόλου· καί διά τοῦ ἁγίου Σώματος καί Αἵματος τοῦ τιμίου· καί διά πάντων τῶν ἁγίων Μυστηρίων τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας καί διά τῶν φρικτῶν ἐξορκισμῶν τῶν ἀπ᾽ ἀρχῆς, ἕως καί νῦν εὑρεθέντων καί εὑρεθησομένων καί διά πάντων τῶν λογίων τῆς ἁγίας Γραφῆς, καί τῶν καθ᾽ ἡμῶν τῶν δυναμένων ἐκβαλεῖν ὑμᾶς ἐκ παντός σώματος ἀνθρώπου, διά πάντων τούτων: καταράσσομαι, ἐκβάλλω καί ἐκδιώκω ὑμᾶς πονηρά καί ἀκάθαρτα πνεύματα καί πᾶσαν τήν συνεργόν σας δύναμιν τοῦ διαβόλου, τοῦ διδασκάλου ὑμῶν τοῦ σατανᾶ τοῦ μεγάλου ἄρχοντος· ἐστέ κατηραμένοι καί τυραννούμενοι ἐν παντί τόπῳ· ἐν ἀέρι, ἐν ὕδατι, ἐν γῇ, ἐν πάσῃ μαγείᾳ ἤ ἀστρομαντείᾳ· νά ἔχετε πάντοτε βασάνους ἀνυπομονήτους καί ἀβαστάκτους ὑπομένοντες· ἐάν μή ὑποχωρήσητε ἀπό τοῦ πλάσματος τούτου τοῦ δούλου Θεοῦ (δεῖνα). Ἀμήν.

## ΟΓΔΟΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω σε πνεῦμα ἀκάθαρτον, Σατάν, Βεελζεβούλ, ἐχθρέ τῆς πίστεως ἡμῶν καί τοῦ γένους τοῦ ἀνθρωπίνου, ὁ τόν θάνατον ἀγαγῶν, ὁ τῆς ζωῆς ἅρπαξ, ὁ τήν διακιοσύνην μισῶν, ἡ

ρίζα τῶν κακῶν, ὁ ἐφευρέτης διάβολος πάσης ἀκαθαρσίας, ὁ τούς ἀνθρώπους ἐκ τοῦ φόβου τοῦ Θεοῦ ἐκβαλών, ὁ τῆς φιλαργυρίας ἀρχηγός, αἰτία παντός φθόνου καί ἀσυμφωνίας, ὁ τούς δαίμονας ἐγείρων, ὁ τῶν κακῶν διδάσκαλος. Ἐξορκίζω σε πᾶσαν μαγείαν, φάντασμα, λεγεών ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ: φιμώθητι, φύγε· ἔξελθε ἀπό τοῦ πλάσματος τοῦ Θεοῦ (δεῖνα).

Αὐτός σέ ἐπιτιμᾶ καί ἐπιτάσσει, ἐξόριστόν σέ ποιήσας ἐκ τοῦ οὐρανοῦ καί ἐν τοῖς κατωτάτοις τῆς γῆς, σέ κατασφαλισάμενος. Φοβήθητι, Σατάν, φύγε ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ. Φύγε ἐν τῷ ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος. Δός τόπον τῷ ἁγίῳ Πνεύματι διά τούτου τοῦ σημείου τοῦ σταυρικοῦ τοῦ Κυρίου τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ συμβασιλεύοντος καί δεδοξασμένου τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι, ἀμήν.

## ΕΝΑΤΗ ΕΥΧΗ

Σταύρωσον ἐν τῷ στήθι λέγων:

Ὦ τίμιε καί πανάγιε Σταυρέ, ὁ φύλαξ πάσης τῆς οἰκουμένης, ἡ ὡραιότης τῶν ἐκκλησιῶν, φύλαξον τά ἔνωθεν καί τά ἔξωθεν τοῦ δούλου σου (δεῖνα).

Ὡραίωσον τοῦτον, τό πλάσμα τοῦ Θεοῦ, ὡς ἐν ἀρχῇ ὡραιώθη παρά τοῦ Θεοῦ, ποιηθέν καί πλασθέν ἐν εἰκόνι Αὐτοῦ, ὦ βασιλέων κραταίωμα, βασίλευσον ἐν αὐτῷ, ὦ πιστῶν στήριγμα στερέωσον τήν καρδίαν αὐτοῦ ἐν τοῖς θείοις προστάγμασιν, στερέωσον τήν ψυχήν αὐτοῦ ἐν φόβῳ Θεοῦ.

Δός, Κύριε, τήν Χάριν Σου ἐν τῇ προσευχῇ ἡμῶν ἵνα ὁ φοβερός φοβηθῇ καί φύγῃ, καί ὁ φοβίζων ἡμᾶς φοβούμενος φανῇ.

## ΔΕΚΑΤΗ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

Ὁρκίζω σε τοίνυν, τόν ὑπερήφανον δράκοντα καί πονηρόν διάβολον ἐξελθεῖν ἀπό τόν δοῦλον τοῦ Θεοῦ τόν (δεῖνα), ἐν ὀνόματι τοῦ Θεοῦ καί Σωτῆρος Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ καί Πατρός, τοῦ δώσαντος ἡμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων, καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ ἡμῶν, ἔξελθε τοίνυν, ἔξελθε καί φῦγε. Κατ' ἐκείνου γάρ, σέ ὁρκίζω, ὅν πάντα φρίττει καί τρέμει, ὁ τά πάντα ὑποτάσσονται, ὅν τά ἐπουράνια τάγματα ἀκαταπαῦστως ὕμνοις δοξάζει. Αὐτός ἐπιτάσσει σοι καί ἐπιτιμᾷ, ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ, ὁ σάρξ γενόμενος

γιά τήν άνυπέρβλητον αὐτοῦ φιλανθρωπίαν. Ὁ ἐκ τῆς Ἁγίας Παρθένου καί Θεοτόκου Μαρίας γεννηθείς καί σαρκωθείς, καί φανείς ὡς ἄνθρωπος δι' ἡμᾶς, ὁ τέλειος Θεός καί τέλειος ἄνθρωπος, Ἰησοῦς Χριστός ὁ Ναζωραῖος, ὁ ἐπιτιμήσας σε ἐξελθεῖν ἐκ τοῦ ἀνθρώπου καί εἰς τήν ἀγέλην τῶν χοίρων εἰσελθεῖν, εἰς ἥν, οὐκ ἐτόλμησας τῇ σῇ δυνάμει, εἰσελθεῖν, ἄνευ τοῦ Αὐτοῦ θελήματος.

Ἔξελθε, τοίνυν, ὁρκιζόμενος, ἄνευ προφάσεως ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι· σκληρόν σοι πρός κέντρα λακτίζει, διάβολε, ὅσον γάρ βραδύνεις τοσοῦτον βάσανος σέ περιμένει περισσότερον, ὁ τάρταρος καί ἡ αἰώνιος κόλασις· καί γάρ οὐκ ἐμέ καταφρονεῖς μή ἐξερχόμενος, ἀλλά τόν ποιήσαντά σε Κύριον τόν Θεόν ἡμῶν, τόν ἐξουσίαν ἔχοντα ζώντων καί νεκρῶν, τόν καταργήσαντά σε διά τοῦ θεράποντος αὐτοῦ Ἰώβ, καί τούς πόνους αὐτοῦ τάς κακίας καί πληγάς ἀπράκτους δείξαντα. Ὑποτάχθητι, τοίνυν τῷ ὑποτάξαντί σε διά τῶν ἁγίων αὐτοῦ προφητῶν, Σαμουήλ, Δαβίδ καί Δανιήλ· ὑποτάχθητι Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅν ἰδών μετά φόβου καί τρόμου πολλοῦ ἔλεγες: «τί ἐμοί καί σοί, Υἱέ τοῦ Θεοῦ, ἦλθες πρό καιροῦ βασανίσαι ἡμᾶς»· ὅς καταδικάσει σε εἰς τήν αἰώνιον κόλασιν, τό πῦρ τό αἰώνιον ἐκδέχεταί σε, σύν

τοῖς ὑπουργοῖς αὐτοῦ· ἔξελθε τοίνυν, κατηραμένε, ἐκ τοῦ ἀνθρώπου τούτου ἔξελθε. Τόν γάρ ἄνθρωπον ἐποίησεν ὁ Κύριος, ναόν ἄξιον καί κατοικίαν ἑαυτοῦ, ἀλλά τί βραδύνεις, διάβολε, καί οὐ δίδεις δόξαν τῷ παντοδυνάμῳ Θεῷ, ᾧ, πᾶν γόνυ κάμπτει, ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων. Δός τόπον, κατηραμένε διάβολε, ἵνα ἐλθών ὁ Χριστός μετά τοῦ Πατρός Αὐτοῦ καί πνεύματος τοῦ Ἁγίου καί μονήν παρ' αὐτῷ ποιήσει, διά τόν ὁποῖον τό αἷμα Αὐτοῦ τό Πανάγιον ἐξέχεεν ἐπί τοῦ Σταυροῦ. Ἔξελθε, λοιπόν, ἔξελθε, ἡ ἔρημος σέ ἀναμένει, ταπείνωσον σεαυτόν, διάβολε, ὄφι δόλιε, μή ἐπαίρων πτέρναν κατά τοῦ Κυρίου σου· ἰδού ὁ Κύριος ἐγγύς ἥξει γάρ καί οὐ χρονιεῖ, κρῖναι πᾶσαν τήν γῆν καί σέ καί τήν συνεργόν σου δύναμιν κολάσει εἰς τήν γέεναν τοῦ πυρός παραδούς σέ, εἰς τό σκότος τό ἐξῶτερον, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος καί τό πῦρ οὐ σβέννυται. Αὐτός σέ διώκει, ὅν πάντα φρίσσει καί τρέμει, διά τοῦτο κἀγώ σέ ἐξορκίζω καί ἐπιτιμῶ, ἵνα κατέλθῃς εἰς τόν δάκτυλον τοῦ ἀριστεροῦ ποδός τούτου τοῦ ἀνθρώπου (τοῦ δεῖνος), εἰ ἀληθῶς ἐν αὐτῷ ᾤκησας, ὁμοίως καί πάσας σου τάς δυνάμεις, αὐτόθι καταβιβάσεις, μή δυνάμενος ἀναβῆναι εἰς ἄλλο μέρος τοῦ σώματος αὐτοῦ ἤ μέλος χωρίς τοῦ ἐμοῦ θελήμα-

τος. Εἰδέ μή οὕτως ποιήσεις, ἀλλά θέλεις μοῦ παρακοῦσης τήν ἐπιτίμησιν ταύτην, δέν ἔχεις νά κάμῃς είς ἐμένα τόν ταπεινόν καί ἐλάχιστον (δεῖνα) ἱερέα, ἀλλά πρός τόν Θεόν τοῦ Ἀβραάμ καί Ἰσαάκ, καί Ἰακώβ, τόν ἐρχόμενον κρῖναι ζῶντας καί νεκρούς, τοῦ παραδοῦναι σε ὁμοῦ καί τούς συνεργοῦντας σοι ταῖς αἰωνίαις κολάσεσιν, ταῖς μήτε τελειουμέναις μήτε ὀλιγουμέναις, ἀλλά μᾶλλον πληθυνομέναις.

Ὁρκίζω σε, καθώς σοί προεῖπον, κατά τοῦ μεγάλου ὀνόματος τοῦ Θεοῦ, τοῦ ἐπί τῆς πέτρας γραφέντος καί μή βαστασάσης ἀλλά διαρραγείσης, ἵνα καταβῇς κάτω είς τόν δάκτυλον τοῦ ἀριστεροῦ ποδός τοῦ ἀνθρώπου τούτου.

Ὁρκίζω σε ἐν βάρει ἀφορισμοῦ ἀλύτου καί τῆς διαμενούσης κολάσεως, ἐπιτιμῶ κι ἐξορκίζω σε, ὡς ἔχων ἐξουσίαν παρά τοῦ Σωτῆρος Θεοῦ, ἀναθεματίζω καί σέ τόν Ἑωσφόρον, καί πάντας τούς ζοφώδεις ἀγγέλους καί καταχθονίους γενομένους διά τῆν ἔπαρσιν. Προστάσσω καί ἐπιτιμῶ σέ καί ἐξορκίζω σε, καί πάντας τούς πονηρούς διαβόλους, ὑποταγῆναι ἡμῖν καί ἐξελθεῖν ἀπό τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος). Καί μηκέτι εἰσέλθῃς πειρᾶσαι αὐτόν ἀλλά φεῦξον μακράν ἐξ αὐτοῦ καί παντός τοῦ οἴκου καί περιχῶρων αὐτοῦ καί ἐκ παντός γένους χριστιανῶν Ὀρθοδόξων. Ἀμήν.

Σύ δέ Κύριε, ὁ Θεός ἡμῶν, ὁ Πατήρ ὁ ἄναρχος, ὁ Υἱός ὁ συνάναρχος καί τό Πανάγιον καί ὁμοούσιον Πνεῦμα, κόλασον αὐτά τά πονηρά πνεύματα φρικτῶς καί πέμψον είς τήν γέενναν τοῦ πυρός χωρίς ἀφέσεως, μηδέποτε ἐλευθερῶσας συγχωρῇσῃς αὐτούς, ἵνα μή ἐπηρεάζωσι τούς δούλους Σου, τούς χριστιανούς.

Ὅπως δοξάζηται δι' αὐτῶν πάντοτε, τό πάντιμον καί μεγαλοπρεπές ὄνομά Σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Κύριε Ἰησοῦ Χριστέ, ἐλέησόν με.

# ΕΙΧΑΙ
# ΤΟΥ ΑΓΙΟΥ ΠΑΡΘΕΝΙΟΥ
# ΕΠΙΣΚΟΠΟΥ ΛΑΜΨΑΚΟΥ
# ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ



Τῇ 7ῃ τοῦ μηνός Φεβρουαρίου,
Μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Παρθενίου,
Ἐπισκόπου Λαμψάκου τοῦ θαυματουργοῦ.

Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ μύρῳ τοῦ Πνεύματος, ποιμὴν Λαμψάκου ὀφθείς, τὴν θείαν ἐνέργειαν, παρὰ Θεοῦ δαψιλῶς, θαυμάτων ἐπλούτησας, δαίμονας ἀπελαύνειν, ἀσθενοῦντας ἰᾶσθαι, νόσους ἀποδιώκειν, καὶ πληροῦν τὰς αἰτήσεις, Παρθένιε Ἱεράρχα, τῶν προσιόντων σοι.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑλλησπόντου τὸ κλέος καὶ Λαμψάκου τὸν Πρόεδρον, Παρθένιον τὸν μέγαν Ἱεράρχην τιμήσωμεν· θαυμάτων γὰρ πηγάζει δωρεάς, καὶ παύει ἀσθενείας χαλεπάς, καὶ καρκίνου ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐλαβῶς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον, ἱερὲ Παρθένιε, θαυματουργὲ θεοφόρε, ἅπαντα, πιστῶν τά πάθη ἀποκαθαίρων, πνεύματα, τῆς πονηρίας Πάτερ ἐλαύνων· διὰ τοῦτό σε ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

Μεγαλυνάριον

Τὴν πηγὴν τῆς χάριτος ἐκπιών, πέλαγος θαυμάτων ἀναβλύζεις ὑπερφυῶν, καὶ καταπιαίνεις, Χριστοῦ τὴν Ἐκκλησίαν, ῥοαῖς ταῖς ζωηρρύτοις, Πάτερ Παρθένιε.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

(Ἐπί χειμαζομένων
ὑπό ἀκαθάρτων πνευμάτων)

Ἅγιε Ἱεράρχα τοῦ Χριστοῦ Παρθένιε, ὁ πλουσίαν τήν χάριν τῶν θαυμάτων λαβών παρά τῆς ἀκενώτου δωρεᾶς τοῦ Παναγίου Πνεύματος, δέξαι τήν δέησιν ἡμῶν, καί δόν ἡμῖν τήν ταχεῖάν σου ἀντίληψιν· πλήθει γάρ θλίψεων καί ἀσθενειῶν συνεσχέθημεν καί ἐταξόμεθα διά πλῆθος ἁμαρτιῶν Πάτερ, καί ἐκλείπει ἡ ζωή ἡμῶν ἐν τοῖς δεινοῖς· Ἴδε ἐν ὄμματι συμπαθείας ἐπί πάσχοντι ἱκέτῃ σου, καί ἀπάλλαξον αὐτόν τῆς συνεχούσης μάστιγος. Λῦσον τήν κατ' αὐτοῦ δυναστείαν τοῦ ἀρχεκάκου ἐχθροῦ, καί ἀπέλασον καί ἀπονέκρωσον τήν ἐν αὐτῷ τοῦ δαίμονος ἐνέργειαν, ὁ μεγίστην ἐξουσίαν λαβών κατά πνευμάτων ἀκαθάρτων, ὡς θεράπων Χριστοῦ καί Ἀποστόλων ὁμότροπος. Σύ ὦ Πάτερ, ὁ τόν δαίμονα διά τοῦ ἀγρίου κυνός κατά σοῦ ἐφορμήσαντα τῷ σῷ λόγῳ νεκρώσας, κατάργησον καί νέκρωσον τήν φθοροποιόν αὐτοῦ δύναμιν, καί δός τῷ ὑπ' αὐτοῦ κατατρυχομένῳ δούλῳ τοῦ Θεοῦ (δεῖνι) τήν τελείαν ἴασιν καί ποθητήν ὑγείαν, καί τήν

γαλῆνην τῆς καρδίας, καί τήν σωτηρίαν τῆς ψυχῆς. Σύ, ὁ ἐν πολλῇ συμπαθείᾳ, πλήθη δαιμονιζομένων ἀπαλλάξας τῆς φοβερᾶς τοῦ ἀντικειμένου μάστιγος, ἀπάλλαξον καί τόν δοῦλον σου τοῦτον, ἐν τῇ δοθείσῃ σοι χάριτι, τῆς συνεχούσης αὐτόν χαλεπῆς τοῦ Σατανᾶ τυραννίδος· πρός σέ γάρ Πάτερ καταφεύγομεν, καί τήν σήν ἐπικαλούμεθα βοήθειαν, ἵνα τύχωμεν διά τῶν πρεσβειῶν σου τῶν θείων οἰκτιρμῶν καί τοῦ πλουσίου ἐλέους τοῦ Κυρίου· ᾧ πρέπει πᾶσα δόξα καί προσκύνησις νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

### ἀναγινωσκομένη εἰς πᾶσαν ἀσθένειαν καί γοητείαν καί μαγείαν

Θεοφόρε Ἱεράρχα τοῦ Χριστοῦ Παρθένιε, ὁ τῆς Λαμψάκου πανθαύμαστος ποιμήν, καί πάσης Ἐκκλησίας λύχνος φαεινότατος· ὁ Ἀποστολικοῖς χαρίσμασι θαυμαστωθείς, καί πλείστους εὐεργετήσας διά τῆς ἐν σοί τοῦ Παρακλήτου χάριτος καί δυνάμεως· ὁ νοσοῦντας θεραπεύσας, καί παραλύτους συσφίγξας, καί πάντων τῶν αἰτούντων τάς αἰτήσεις πληρώ-

σας, πρόσδεξαι δεόμεθα, συμπαθέστατε Πάτερ, τήν παροῦσαν ἡμῶν δέησιν, καί πλήρωσον χαρᾶς καί εὐφροσύνης τάς καρδίας ἡμῶν. Ἴασαι τόν πάσχοντα δοῦλόν σου (δεῖνα), τόν προσελθόντα μετά πίστεως τῇ χάριτί σου. Κατάργησον καί ἀνενέργητον ποίησον τῆς ἀντικειμένης τοῦ σκότους δυνάμεως τήν κατ' αὐτοῦ ὀλέθριον ἐνέργειαν. Ἀνόρθωσον αὐτόν ἀπό κλίνης ὀδυνηρᾶς ἐπελθούσης ἀσθενείας καί συνοχῆς, πάσης μαγείας, καί γοητείας, καί τερατείας, καί βασκανίας, καί πάσης ἄλλης κακοτρόπου ἐπιβουλῆς καί μανίας διαλύων τάς συστροφάς, καί καταργῶν τάς ἐπινοίας καί ἐπηρείας καί μηχανίας, τῇ ἀοράτῳ ἐπισκιάσει τῆς ὀξείας βοηθείας σου Πάτερ. Σύ τῶν ἀκαθάρτων πνευμάτων τήν ἰσχύν κατήσχυνας· σύ τό χαλεπώτατον πάθος τοῦ καρκίνου ἐθεράπευσας· σύ ἐν σημείοις τε καί τέρασι καί ποικίλαις δυνάμεσι παρά Θεοῦ ἐδοξάσθης, δεδοξασμένε καί θαυματουργέ Πάτερ· σύ καί νῦν ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καί δός τῷ πάσχοντι καί νοσοῦντι ἱκέτῃ σου τήν κατ' ἄμφω ὑγείαν, εἰρήνην οὐρανόθεν καί βίον σεμνόν, πορευομένῳ ἐν ταῖς τρίβοις τοῦ θείου θελήματος, πάσας τάς ἡμέρας τῆς ζωῆς αὐτοῦ· ἵνα διά σοῦ τυχών τοῦ θείου ἐλέους, δοξάζῃ τό πανάγιον ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ

καί τοῦ Ἁγίου Πνεύματος, τῆς μιᾶς Θεότητος καί βασιλείας είς τούς αἰῶνας. Ἀμήν.

## ΤΡΙΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

επί ἀσθενοῦντα

Ἅγιε τοῦ Χριστοῦ Ἱεράρχα, θαυματουργέ Παρθένιε, ὁ τῆς Λαμψάκου ιερός ποιμήν καί πρόεδρος, καί πάσης Ἐκκλησίας φωστήρ ὑπερλάμπων· ὁ τῇ Ἀποστολικῇ σου ζωῇ, Ἀποστολικῶν πλησθείς χαρισμάτων, καί τοῦ Ἁγίου Πνεύματος τῆς ζωοποιοῦ ἐνεργείας ἀναδειχθείς ὄργανον· ὁ τῶν θαυμάτων τῇ πλουσίᾳ δωρεᾷ καί χάριτι, τῶν πονηρῶν πνευμάτων ἀπελάσας τά στίφη, καί ποικίλας νόσους καί ἀσθενείας ἰασάμενος· σοῦ δεόμεθα, καί σέ παρακαλοῦμεν συμπαθέστατε Πάτερ, θεράπευσον καί τόν πασχόντα δοῦλόν σου (δεῖνα), καί ἀπάλλαξον αὐτόν τῆς συνεχούσης καί θλιβούσης ἀσθενείας καί παθήσεως καί νόσου· δός αὐτῷ τήν ὑγείαν, καί πλῆσον αὐτόν τῆς πατρικῆς σου εὐλογίας καί χάριτος. Ἐπάκουσον ἡμῶν τῆς δεήσεως, καί βλέψον ἐν ἱλέῳ ὄμματι ἐπί τόν δοῦλόν σου τοῦτον, τόν αἰτοῦντα διά σοῦ τό θεῖον ἔλεος, καί ἀπέλασον ἐξ αὐτοῦ τό ἐπελθόν τῆς ἀσθενείας νέφος. Ἀνάτειλον αὐτῷ

ἡμέραν εὐφροσύνης, καί ὄμβρησον οὐρανόθεν δρόσον ἀγαλλιάσεως, σβεννύουσαν τούς ἄνθρακας τῆς ἀσθενείας καί τῶν πόνων καί τῆς θλίψεως· σοί γάρ προσῆλθεν, Ὅσιε Πάτερ, αἰτῶν τήν ποθητήν θεραπείαν καί ἴασιν, καί διά σοῦ τήν τῶν πταισμάτων ἄφεσιν, παρά τοῦ ἐλεήμονος Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καί τό κράτος καί ἡ προσκύνησις εἰς τούς αἰῶνας. Ἀμήν.

## ΤΕΤΑΡΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

ἀναγινωσκομένη τῇ 7ῃ Φεβρουαρίου
ἐπί τῇ μνήμῃ αὐτοῦ

Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν προαιώνιε Λόγε τοῦ Θεοῦ καί πατρός, ὁ διά τῆς χάριτός Σου τόν σόν θεράποντα Παρθένιον ἐπίσκοπον Λαμψάκου τόν θαυματουργόν, δόκιμον οἰκονόμον τῶν Σῶν μυστηρίων ἀναδείξας· τόν διώκοντα τά πονηρά πνεύματα καί θεραπεύοντα πᾶσαν λοιμικήν νόσον καί τήν φοβεράν καί ἰοβόλον νόσον τοῦ καρκίνου· οὗ ταῖς πρεσβείαις δώρησαι ἡμῖν δεόμεθά σου χάριν καί ψυχῆς καί σώματος τήν ὑγείαν· ἵνα πίστει βεβαίᾳ, ἐλπίδι σταθερᾷ, καί ἀγάπῃ μέχρι τοῦ τῆς ζωῆς ἡμῶν τέρματος· καί ὥσπερ ἐπί τῆς

γῆς τῆν σεβάσμιον μνήμην αὐτοῦ πανηγυρίζομεν καί χάριν ἐπικαλοῦμεθα· οὕτω καί ἐν οὐρανῷ ἔχομεν αὐτόν παρά Σοί, ὑπέρ ἡμῶν ἀεί πρεσβεύοντα· ὅπως τό ὑπόλοιπον τοῦ βίου ἡμῶν καλῶς περαιώσαντες καταξιωθῶμεν τῆς μακαρίας καί ἀϊδίου διαγωγῆς, μετά πάντων τῶν ἁγίων Σου ἀπολαῦσαι, ὅτι Σύ εἶ ὁ καλός ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν καί σοῦ ἐστίν ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΜΠΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

λεγομένη εἰς ἀγροῦς καί ἀμπέλους

Ἅγιε Ἱεράρχα καί θαυματουργέ Παρθένιε, ὁ τῆς Λαμψάκου τό ποίμνιον ποιμάνας καλῶς, καί ὁδηγῆσας ἀσφαλῶς εἰς λειμῶνας Εὐαγγελικῆς ζωῆς, ὡς μαθητής καί μιμητής τοῦ ἀρχιποίμενος Χριστοῦ· ὁ παρ' αὐτοῦ θαυμάτων τήν χάριν καί δύναμιν πλουσιωτάτην δεξάμενος, δι' ἧς δαίμοσιν ὤφθης φοβερός, καί ποικίλων νοσημάτων ἰατήρ, πλείστους πάσχοντας καί κακουχουμένους εὐεργετήσας ἐν σπλάγχνοις οἰκτιρμῶν· σοῦ δεόμεθα Πάτερ, σύ ὁ εὐλογήσας τόν ἄκαρπον ἀγρόν καί τήν ἄγονον ἄμπελον, καί καρπόν πολύ ἀπέδωκαν,

αὐτός καί νῦν εὐλόγησον, ὡς συμπαθής, τόν παρόντα ἀγρόν σύν τῇ ἀμπέλῳ καί ταῖς ἀρούραις, ὡς ἄν καρποφορίαν καλήν καί πίονα προσάγωσι τοῖς ἐμπόνως γεωργοῦσιν αὐτά. Ἀποδίωξον ἐξ αὐτῶν πᾶσαν βλάβην καί φθοράν, καί πᾶν τό ἐπαγόμενον ἀκαρπίαν καί καταστροφήν. Εὐλόγει τούς κόπους καί τά ἔργα τῶν πιστῶν οἰκετῶν σου· δίδου αὐτοῖς ἐν εὐθέτῳ χρόνῳ ὑετούς καρποφόρους ταῖς πρός Θεόν δεήσεσιν, ὁ ἐξ οὐρανοῦ ὄμβρον καταγαγών, καί τήν ξηρανθεῖσαν καί αὐχμῶσαν γῆν καταποτίσας εἰς εὐφροσύνην τῶν δεομένων· καί παράστηθι ἡμῖν ἀοράτως, ὡς μέγας ἡμῶν προστάτης καί ἔφορος, ἀποτρέπων καθ' ἡμῶν πᾶσαν μανίαν τῶν ἀοράτων ἐχθρῶν, καί πρέσβευε τῷ πανοικτίρμονι Θεῷ, ὅπως παρέχῃ ἡμῖν εἰρήνην ἐν τῷ βίῳ, ἄφεσιν ἁμαρτιῶν, καί ἀξιώσῃ ἡμᾶς, ἐν τῷ ἀπείρῳ αὐτοῦ ἐλέει, τῆς οὐρανίου βασιλείας, ὡς ἀγαθός καί φιλάνθρωπος. Ἀμήν.

## ΕΚΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

**λεγομένη ἐπί δικτύων πρός καλήν ἄγραν ἰχθύων**

Ὁ τῷ Θεῷ ὁλοτρόπως ἀνατεθείς, καί ὡς καλός οἰκονόμος καλῶς αὐτῷ διακονήσας καί δουλεύσας, θεοφόρε Ἱεράρχα Παρθένιε· ὁ

τῶν χαρισμάτων τοῦ Ἁγίου Πνεύματος τόν πλοῦτον ἐν σεαυτῷ ταμιεύσας καί θησαυρίσας, δι᾽ οὗ πᾶσι παρέχεις σωτηριώδεις δόσεις, καί τά αἰτήματα ἐκπληροῖς· ὁ θαυμάτων ἀκτῖσι σκότος βαθύτατον δαιμονικῆς ἐπηρείας ἀπελαύνων· ὁ τῶν πιστῶν ἁλιέων τά δίκτυα εὐλογήσας καί ἐπληρώθησαν ἰχθύων ἐν τῷ ἁλιεύειν αὐτούς, εὐλόγησον καί νῦν τῶν εὐλαβῶν ἱκετῶν σου ἁλιέων τά δίκτυα, καί δίδου αὐτοῖς ἄγραν ἰχθύων ἱκανήν, Χριστόν ὑπέρ ἡμῶν ἱκετεύων, τόν ἐν τῇ θαλάσσῃ τῆς Τιβεριάδος εὐλογήσαντα τῶν Μαθητῶν τά δίκτυα, καί συνέκλεισαν πλῆθος ἰχθύων, ὥστε διαρρύγνυσθαι αὐτά. Ἀποδίωξον ἐξ αὐτῶν πᾶσαν δαιμονικήν ἐνέργειαν καί βλάβην ἐπερχομένην αὐτοῖς, ὡς ἐξαίρετον χάριν παρά Κυρίου λαβών παρέχειν ἑκάστῳ τά αἰτήματα· ὅτι ἐν πίστει σοι προστρέχομεν Πάτερ, καί ἐξαιτούμεθα τήν θερμοτάτην ἀρωγήν σου, ἵνα ἐν εὐπραγίαις κομῶντες δοξάζωμεν τόν σέ δοξάσαντα Κύριον· ᾧ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας. Ἀμήν.

# ΕΥΧΗ
# ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΞΕΝΙΑΣ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ




Τῇ 3ῃ τοῦ μηνὸς Μαΐου,
Μνήμη τῆς Ἁγίας μεγαλομάρτυρος
Ξενίας τῆς θαυματουργοῦ.

## Ἀπολυτικίον

Βαφαῖς τῶν αἱμάτων σου φαιδράν στολήν σεαυτῇ, Ξενία, ἐπέχρωσας παρισταμένη Χριστῷ, ὡς νύμφη πανάσπιλος· εἴληφας δέ τήν χάριν, μαγγανείας τοῦ λύειν, δαίμονας ἐκδιώκειν καί τάς νόσους ἰᾶσθαι. Ἱκέτευε ἐκτενῶς, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

## Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ἐν τῇ ἀθλήσει σου καλῶς ἠγωνίσω, καί μετά θάνατον ἡμᾶς ἁγιάζεις, ταῖς τῶν ἰαμάτων βλύσεσι πανεύφημε· ὅθεν σου τήν κοίμησιν, τήν ἁγίαν τιμῶμεν, πίστει παριστάμενοι τῷ σεπτῷ σου λειψάνῳ, ἵνα ῥυσθῶμεν νόσον ψυχικῶν, καί τῶν θαυμάτων τήν χάριν ἀντλήσωμεν.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Παρθενίας νάμασι, καθηγνισμένη ὁσία, μαρτυρίου αἵμασιν, Ξενία πλυθεῖσα, παρέχεις τοῖς ἐν ἀνάγκαις τῶν νοσημάτων, ἴασιν καί σωτηρίαν τοῖς προσιοῦσιν ἐκ καρδίας· ἰσχύν γάρ νέμει, Χριστός ὁ βρύων χάριν ἀέναον.

## ΠΡΩΤΗ ΕΥΧΗ

### Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστέ ὁ θεός μου, ὁ ρυσάμενός με ἐκ χειρός τοῦ ἀποστάτου Δομετιανοῦ. Ὁ ἐπαμβλύνας πάσας τάς κατ᾽ ἐμοῦ ἐπινοίας καί μηχανάς αὐτοῦ. Ὁ τῇ ἀηττήτῳ δυνάμει τοῦ Σταυροῦ Σου κατασφαλίσας με καί σώαν ἐκ τοῦ διασυρμοῦ τῶν ἵππων διαφυλάξας. Ὁ παρασχών μοι τήν ἰσχύν καταβαλεῖν τόν πολυμήχανον ἐχθρόν ἐν τῷ σκάμματι τοῦ μαρτυρίου. Αὐτός καί νῦν, Δέσποτα, λύτρωσαι τήν μιανθεῖσαν ταῖς βιοτικαῖς ἡδοναῖς ψυχήν μου ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας, ἐν τῷ ἀπέρχεσθαί με ἐκ τοῦ φθαρτοῦ τοῦτου κόσμου, καί διά τῆς μετανοίας καθαράν παράστησον πρό τοῦ ἀδεκάστου καί φρικτοῦ βήματός σου. Δός δόξαν τῷ ὀνόματί Σου καί ἐνίσχυσόν με ἕως τέλους κατισχῦσαι τῶν ὁρατῶν καί ἀοράτων ἐχθρῶν μου. Παντί δέ τῷ ἐπικαλουμένῳ Σε μετά πίστεως, δι᾽ ἐμοῦ τῆς δούλης Σου Ξενίας, ἤ τήν ἡμέραν τῆς πρός Σέ τόν ἀθάνατον καί μόνον ἀληθινόν Θεόν ἐκδημίας μου μεμνημένῳ καί ταύτην ἑορτάζοντι ἤ τήν ἐμήν εἰκόνα κατέχοντε καί ταύτῃ πιστῶς προσπελάζοντι,ἤ τῆν δέησίν μου ταύτην ἀναγινώσκοντι καί τό μαρτύριόν μου μελετῶντι βοήθειαν ἐν παντί

καί ψυχικήν σωτηρίαν. Καί ὡς ἔλυσας Κύριε, πᾶσαν κατ΄ ἐμοῦ τοῦ ἀπεχθοῦς τυράννου μου μαγείαν καί ἐπαοιδίαν καί ἀνωτέραν τῆς ἐπηρείας αὐτῶν ἐτήρησᾶς με, οὕτως ἀφάνισον τῇ ἀνυπερβλήτῳ καί κραταιᾷ δυνάμει σου, καί ἐκ τοῦ δούλου σου (δεῖνος), τοῦ αἰτοῦντος βοήθειαν παρά Σοῦ, δι' ἐμοῦ τῆς ταπεινῆς Σου δούλης, πᾶσαν γοητείαν ἤ μαγγανείαν, πᾶσα φαρμακείαν ἤ ἐπαοιδίαν καί πᾶσαν βασκανίαν ἢ ἀστρομαντείαν, ἐν παντί ἀντικειμένῳ ἢ τόπῳ ἀνῆκοντι αὐτῷ γενομένην, ἐν τῷ αἰθέρι, ἐν τῇ γῇ καί ὑποκάτω τῆς γῆς, ἐν τῷ ἀέρι, ἐν τοῖς γλυκέσιν ὕδασι τῶν λιμνῶν καί ποταμῶν καί τῶν φρεάτων καί τοῖς ἁλμήεσι τῶν θαλασσῶν. Καί ὅν τρόπον ἐκρύπτει ὁ ἄνεμος χνοῦν ἀπό προσώπου τῆς γῆς, οὕτω διασκορπισθήτωσαν καί ἀφανισθήτωσαν καί λυθήτωσαν ὑπό τῶν φθονερῶν ἀνθρώπων τά τῆς μαγείας ἔργα, τά δι' ἐπικλήσεως τοῦ μισοκάλου δαίμονος ἔνθα κεῖνται καί ᾧ τίνι τρόπῳ ἢ σημείῳ ἤ ὀργάνῳ ἤ ὕλῃ ποιηθέντα καί ἐν οἱῳνδήτινι ἀριθμῷ μετρηθέντα καί ᾧ τίνι τῶν ἀστερισμῶν κατονομασθέντα ἐν νυκτί ἤ ἐν ἡμέρᾳ ἐν τῷ φωτί ἤ ἐν τῷ σκότει. Ἀπάλλαξον δέ πάσης τῆς ἐξ αὐτῶν ἐπηρείας τόν πρός Σέ τόν φιλάνθρωπον καί εὔσπλαγχνον Θεόν καταφυγόντα πιστόν δοῦλόν σου (δεῖνα) καί τήν

ταπεινήν σου Μάρτυρα Ξενίαν είς πρεσβείαν προσάγοντα, παντός ψυχικοῦ καί σωματικοῦ δεσμοῦ ἤ ἀσθενείας ἤ γοητείας ἤ μαγγανείας ἤ ἀστρολογίας ἤ νεκρομαντείας ἤ ἐπαοιδίας καί βλάβης τοῦ πονηροῦ δι' ἔργου ἤ διά λόγου ἤ διά δαιμόνων ἤ δι' ἀνθρώπων ἐνεργηθείσης. Τήρησον αὐτόν φυλάττοντα τάς ἐντολάς σου καί ἀβλαβῆ πάσης τῶν πονηρῶν πνευμάτων κακώσεως, καί ἀξίωσον γενέσθαι μέτοχον τῶν αἰωνίων Σου ἀγαθῶν, ὅτι εὐλογητός εἶ εἰς τούς αἰῶνας. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

**Τοῦ Κυρίου δεηθῶμεν.**

**λεγομένη ὑπό τοῦ Ἱερέως
εἰς νοσοῦντα παιδία**

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, προαιώνιε Λόγε τοῦ Θεοῦ καί Πατρός, ὁ διά τῆς χάριτός σου τήν πιστήν Σου Μάρτυρα Ξενίαν, ἥν φύλαττε Σῶτερ πρεσβεύουσαν ὑπέρ ἡμῶν, πρός τοῖς ἄλλοις καί τῶν παίδων προστάτιν ἀναδείξας, ὥσπερ καί τόν Ὅσιόν Σου Στυλιανόν. Ὁ ἐπακούων αὐτῆς πρεσβευούσης ὑπέρ τῶν τέκνων ἡμῶν τοῦ διαφυλάξαι καί ρῦσαι ταῦτα παντός ἐκ κινδύνου καί σώζων αὐτά. Αὐτός καί νῦν πολυεύσπλαχνε Κύριε,

ἐπικάμφθητι ἐπί ταῖς θερμαῖς ἡμῶν δεήσεσι τῶν ταπεινῶν καί ἀναξίων δούλων σου, καί ἴασαι τόν καταφυγόντα σοι πιστόν δοῦλόν Σου (δεῖνα) καί τήν Μάρτυρα Ξενίαν εἰς πρεσβείαν προσάγοντα, καί ἀπάλλαξον αὐτόν πάσης ἀσθενείας καί νόσου, πάσης ἐπηρείας τῶν ἀκαθάρτων πνευμάτων καί ὀφθαλμῶν βασκανίας τῶν πονηρῶν ἀνθρώπων, πάσης πληγῆς καί ἀλγηδόνος, πάσης μάστιγος καί ἄλγους καί παντός μή προσήκοντος πράγματος, ἵνα καί ἐπ' αὐτῷ δοξασθῇ τό πανάγιον ὄνομά Σου. Σύ γάρ εἶ ὁ τά πάντα δυνάμενος, καί πρός Σέ καταφεύγομεν, καί παρά Σοῦ μόνου τήν βοήθειαν διά πρεσβειῶν τῆς Ἁγίας Σου Μάρτυρος Ξενίας εἰς τήν παροῦσαν ἡμῶν ἀνάγκην ἐξαιτούμεθα, ὅτι εὐλογητός εἶ εἰς τούς αἰῶνας. Ἀμήν.



# ΕΥΧΗ
# ΑΓΙΟΥ ΓΕΡΑΣΙΜΟΥ ΚΕΦΑΛΛΗΝΙΑΣ



**Τῇ 20ῇ Ὀκτωβρίου, Μνήμη τοῦ ὁσίου πατρός ἡμῶν Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ.**

## Ἀπολυτίκιον.

### Ἦχος α΄. Αὐτόμελον.

Τῶν Ὀρθοδόξων προστάτην καὶ ἐν σῶματι ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν, ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν, ἰαμάτων τὴν ἀέναον χάριν· ρώννυσι τοὺς νοσοῦντας καὶ δαιμονῶντας ἰᾶται. Διὸ καὶ τοῖς τιμῶσιν αὐτόν, βρύει ἰάματα.

## Κοντάκιον.

### Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Εὐχαρίστοις ᾄσμασι, τῶν Κεφαλλήνων ἡ νῆσος, προσκαλεῖται σήμερον, τῶν Ὀρθοδόξων τά πλήθη, μέγιστον, νεοφανέντα ἐγκωμιάσαι, καύχημα, Ὀρθοδοξίας ἀναφανέντα, τὸν Γεράσιμον τὸν θεῖον, τόν ρύστην ταύτης ὁμοῦ καὶ πρόμαχον.

## Μεγαλυνάριον.

Τῆς ὁμολογίας Χριστιανῶν, ἔθετό σε στῦλον, ἀδιάσειστον ὁ Θεός, τὸ σεπτόν σου σκῆνος, Γεράσιμε δοὺς πᾶσι, τοῖς ἐναντίοις λίθον, δεινοῦ προσκόμματος.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

εἰς πᾶσαν ἀσθένειαν καί σατανικῆν ἐπῆρειαν

Κύριε ὁ Θεός ἡμῶν, εἰσάκουσον τῆς προσευχῆς μου, καί ἴασαι τόν δοῦλον σου (δεῖνα), ὅτι πλάσμα σου ὑπάρχει, καί ἀπέλασον ἀπ᾽ αὐτοῦ Κύριε, πᾶν πνεῦμα ἀσθενείας, καί δός αὐτῷ πλουσίαν τήν χάριν σου διά τοῦ τιμίου σου Σταυροῦ· πνεῦμα γάρ πονηρόν εἰσήνεγκεν αὐτήν τήν βαρυτάτην ἀσθένειαν. Ἀλλ᾽ ἰδού, ὦ πνεῦμα ἀσθενείας, ἐξορκίζω σε διά τοῦ φοβεροῦ ὀνόματος τοῦ Ὑψίστου καί τοῦ Ἀρχιστρατήγου Μιχαήλ, καί πασῶν τῶν ἐπουρανίων Δυνάμεων καί τοῦ ὁσίου Πατρός ἡμῶν Γερασίμου τοῦ Νέου ἀσκητοῦ τοῦ ἐν Κεφαλληνίᾳ ἀσκήσαντος καί βιώσαντος· φοβήθητι τόν διώκοντά σε καί ἔξελθε ταχέως καί ἔασον τό πλάσμα τοῦ Θεοῦ. Δέσποτα Κύριε, ἐνίσχυσόν με τῇ ὥρᾳ ταύτῃ κατά τοῦ ἀκαθάρτου πνεύματος, ὅπως ἀπέλθῃ ἀπό τοῦ δούλου σου (δεῖνος). Αὐτός ὁ Κύριος ἐπιτιμᾷ σε, ὁ φοβερός μόνος, πονηρέ δαίμονα. Ἄκουσον τοίνυν, φύγε, δραπέτευσον, ἀποστάτα τοῦ Θεοῦ καί ἐχθρέ τῶν ἀνθρώπων, ἐπιθυμητά τοῦ θανάτου καί πάσης κακίας ἐφευρέτα·

πρόξενε τῶν πόνων καί τῶν ἀσθενειῶν· διώχθητι διά τοῦ ἀγεννήτου ὀνόματος τοῦ ἀνάρχου Πατρός, καί τοῦ παρ' αὐτοῦ γεννηθέντος Υἱοῦ καί τοῦ παναγίου καί προσκυνητοῦ Πνεύματος. Χάριτι καί οἰκτιρμοῖς καί φιλανθρωπία τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΕΥΤΕΡΆ ΕΥΧΗ

**Τοῦ Κυρίου δεηθῶμεν.**

**εἰς πᾶσαν νόσον**

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ ποιήσας τόν οὐρανόν καί τῆν γῆν, τήν θάλασσαν καί τά ἐν αὐτοῖς· ὁ πλάσας τόν ἄνθρωπον κατ' εἰκόνα σήν καί ὁμοίωσιν, καί δούς αὐτῷ ἐξουσίαν ζωῆς καί θανάτου, εἶτα ἐκπεσόντα, ἐξορίσας αὐτόν ἐκ τοῦ παραδείσου καί πάλιν οἰκονομήσας αὐτόν διά τῆς σῆς ἐνανθρωπήσεως, καί ὑπομείνας Σταυρόν. Ἥλοις τάς ἀχράντους σου χεῖρας καί ἁγίους σου πόδας προσηλωθείς, καί χαρισάμενος ἡμῖν τά σύμβολα τοῦ ἀχράντου σου πάθους, τόν Σταυρόν, τούς Ἥλους, τήν Λόγχην καί τόν ἀκάνθινον στέφανον. Αὐτός καί νῦν διά τῆς

χάριτος τοῦ παντίμου σου Ἥλου, ὅν ἐδωρήσω ἡμῖν φυλακτήριον ἄμισθον, ἀλεξιτήριον παντός κακοῦ, καί νόσου φθοροποιοῦ, ἐπίβλεψον καί νῦν ἐφ' ἡμᾶς τούς ταπεινούς δούλους σου, τῇ ἐπισκέψει καί προστασίᾳ τοῦ πανενδόξου Ἀρχιστρατήγου σου καί ταξιάρχου, καί ἀΰλου λειτουργοῦ σου Μιχαήλ τοῦ προστάτου ἡμῶν. Ἀποδίωξον ἀπό ἡμᾶς τούς δούλους σου (δεῖνα καί δεῖνα), πᾶσαν γοητείαν καί φαρμακείαν καί νόσον παντείαν· καί μή ἐπέλθῃ εἰς ἡμᾶς ἤ εἰς τόν οἶκον ἡμῶν, λοιμική νόσος ἤ ὄφις ἤ ἔχιδνα ἤ σκορπιός, οὐδέ ἐν τοῖς χωρίοις καί ἀμπελῶσι καί κήποις κάμπη, ἀκρίς καί βροῦχος, ἤ ἄλλη φθοροποιός νόσος ἤ ἄλλο τι πονηρόν ἤ ἄωρος θάνατος. Ἀλλά σύ, Κύριε Βασιλεῦ, ἀποδίωξον ταῦτα πάντα ἀπό ἡμᾶς τούς δούλους σου (δεῖνα), ἔτι δέ καί ἀποθήκην καρπῶν, ἀγγεῖα οἴνου, πίθους ἐλαίου, ἀπό πάσης βλάβης διαφύλαξον· καί δός ἡμῖν, Κύριε, πλησμονήν σίτου, οἴνου καί ἐλαίου, καί εὐλόγησον ἡμᾶς, μικρούς τε καί μεγάλους, καί πᾶσαν τήν χώραν ἡμῶν· χάρισαι ἡμῖν ὑγείαν, ψυχῆς τε καί σώματος, καί εἰρήνην· καί συγχώρησον ἡμῶν τά ἁμαρτήματα, ἑκούσιά τε καί ἀκούσια· καί δός ἡμῖν κλῆρον σωτηρίας ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας. Δυ-

νάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, χάριτι τοῦ παντίμου καί πανσέπτου σου Ἥλου. Προστασίαις τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαήλ καί Γαβριήλ, καί πασῶν τῶν ἐπουρανίων Δυνάμεων. Τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων. Τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Φανουρίου, Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἐνδόξων Ἱεραρχῶν καί Ἱερομαρτύρων. Τῶν ὁσίων καί θεοφόρων πατέρων ἡμῶν καί πάντων τῶν ὁσιομαρτύρων καί νεομαρτύρων. Τοῦ ὁσίου πατρός ἡμῶν Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ· τοῦ Ὁσίου πατρός ἡμῶν Φιλοθέου, Συμεῶν, Διονυσίου καί λοιπῶν ἁγίων πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης καί πάντων σου τῶν ἁγίων. Ὅτι εὐλογητός καί δεδοξασμένος ὑπάρχεις είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΑΙ
# ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΒΑΡΒΑΡΑΣ




**Τῇ 4ῃ τοῦ μηνός Δεκεμβρίου,**
**Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας**

## Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Τριάδος τὴν δόξαν ἀνακηρύττουσα, ἐν τῷ λουτρῷ τρεῖς θυρίδας ὑπεσημήνω σοφῶς, κοινωνίαν πατρικὴν λιποῦσα πάνσεμνε· ὅθεν ἠγώνισαι λαμπρῶς, ὡς παρθένος εὐκλεής, Βαρβάρα Μεγαλομάρτυς. Ἀλλὰ μὴ παύσῃ πρεσβεύειν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα, μέσον δὲ τοῦ σκάμματος. ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως κράζουσα σεμνή· Τριάδα σέβω, τὴν μίαν θεότητα.

## Μεγαλυνάριον.

Πατέρα λιποῦσα τὸν δυσσεβῆ, ἐδείχθης θυγάτηρ, Βασιλέως τῶν οὐρανῶν, ὑπὲρ οὗ προθήμως, ἀθλήσασα Βαρβάρα, λυτροῦσαι πάσης νόσου, τοὺς προσιόντας σοι.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἄναρχε, ἀχειροποίητε, μαρτύρων στέφανε, Κύριε Ἰησοῦ Χριστέ, ὁ τόν οὐρανόν ἐκτείνας καί τήν γῆν θεμελιώσας· ὁ τάς ἀβύσσους συγκλείσας καί τήν θάλασσαν τειχίσας· ὁ προστάξας τάς ὀμβροτόκους νεφέλας βρέχειν ἐπί πονηρούς καί ἀγαθούς· ὁ ἐπί θαλάσσης περιπατήσας ὡς ἐπί ἐδάφους καί τούς πόδας μή βρέξας· ὁ ἐπιτιμήσας τῷ ἀνέμῳ καί τῇ θαλάσσῃ καί εἰς γαλήνην μεταβαλών· πάντα γάρ ὑπακούει, Κύριέ μου Ἰησοῦ Χριστέ, τῷ σῷ προστάγματι, ὅτι ποιήματά σου ἐστίν. Παράσχου μοι Κύριε, τήν αἴτησιν ταύτην καί δός τῇ δούλῃ σου χάριν, ἵνα ὅστις μνημονεύῃ μου ἐν ὀνόματί σου τῷ ἁγίῳ καί ποιῇ τήν τῶν ἡμερῶν τῆς μαρτυρίας μου, Κύριε, μή μνησθῇς τῶν ἁμαρτιῶν αὐτῶν ἐν ἡμέρᾳ κρίσεως, ἀλλ' ἵλεως γενοῦ αὐτοῖς. Γινώσκεις γάρ, Κύριε, ὅτι σάρξ καί αἷμά ἐσμεν, ποίημα τῶν ἀχράντων χειρῶν σου. Ἀμήν.

## ΔΕΥΤΕΡΑ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεός τῶν Δυνάμεων, ὁ πάσης πνοῆς καί σαρκός Δημιουργός, ὁ ἰασάμενος πᾶσαν

νόσον, παράσχου τῇ δούλῃ σου χάριν, ἵνα σοι ἄν προσέλθωσι τῷ τόπῳ, ἔνθα τό λείψανόν μου ἀπόκειται καί τά ἡγιασμένα ὕδατα, δώρησαι αὐτοῖς ἴασιν ψυχῆς καί σώματος, ἵνα καί ἐν τούτοις δοξάζηται τό πανάγιον ὄνομά σου, ἅμα τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι. Ἀμήν.

## ΤΡΙΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ἄναρχε Θεέ, ὁ τόν οὐρανόν τείνας ὡσεί καμάραν, τήν δέ γῆν ἐφ᾽ ὑδάτων ἑδράσας, ὁ νεφέλαις βρέχειν προστάττων, ἥλιόν τε φωταγωγόν πᾶσι παραστησάμενος καί τάς κοινάς ταύτας ἀπολαύσεις δικαίοις τε καί ἀδίκοις, ἀγαθοῖς ἅμα καί πονηροῖς χορηγῶν, αὐτός καί νῦν, ἐμοῦ δεομένης, εἰσάκουσον, Βασιλεῦ, καί ὅς ἄν τοῦ σοῦ ὀνόματος καί τῆς ἐμῆς ἀθλήσεως τῷ οἴκῳ αὐτοῦ ἐπισκήψεις, μή ἄλλο τί μηδέν τῶν λωβᾶσθαι σήματα καί λυπεῖν δυνάμεων. Οἶδας γάρ, Κῦριε, ὅτι σάρξ ἡμεῖς καί αἷμα, ποίημα τῶν σῶν ἀχράντων χειρῶν καί εἰκόνι σῇ καί ὁμοιώσει τετιμημένοι. Ἀμήν.

## ΤΕΤΑΡΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

**Εἰς τήν ἁγίαν Βαρβάραν**

Ἁγία τοῦ Χριστοῦ καί καλλίνικε μάρτυς Βαρβάρα, οὐκ ἐν ἐκείνῳ μόνον τῷ χώρῳ ᾗ σοι δεδωρημένη καλλονή, καί χάρις ἰαματική περιγέγραπται, ἀλλά καί τοῖς πανταχῇ τῆς οἰκουμένης μετά θερμῆς σοι προσιοῦσι τῆς πίστεως, καί τό σόν ἐτήσιον ἐκτελοῦσι μνημόσυνον, τά λοιμώδη θεραπεύεται τραύματα, καί πάσης ἡλικίας ἡ ἀηδής φυγαδεύεται σκῆψις, ὄχλησις, ἐνέργειαί τε δαιμονιώδεις τοῖς σοῖς ἐμβριμήμασιν ἀπελαύνονται· οὐ μήν ἀλλά καί πάντων ἐκλυτροῦται κινδύνων καί περιστάσεων, οἵ σέ πρός ἄμυναν ἐπίκουρον προσκαλούμενοι. Καί ἡμῖν οὖν τοῖς πίστει σου τήν προσηγορίαν ἀγαπῶσι καί τιμῶσι καί δι' αἰδοῦς ἄγουσι, καί τῇ ἀντιληπτικῇ σου προσφεύγοντας πρεσβείᾳ, γένοιτο ὦ ἀθλοφόρε Βαρβάρα, καί καλλίνικε ἀοίδιμε, καί ἀείμνηστε καί πανεύφημε μάρτυς, καί ἐννομωτάτη ἀθλήτρια, τῆς τῶν οὐρανῶν Βασιλείας πρόξενος, καί ἐν πάσῃ λυπηρᾷ συμβάσει ὑπέρμαχος καί πρέσβυς ἀκαταίσχυντος πρός τόν πανάγαθον Χριστόν τόν Θεόν ἡμῶν, μεθ' οὗ τῷ ἀνάρχῳ

καί ἀγεννήτῳ καί προσκυνητῷ Πατρί, ἅμα τῷ ὁμοουσίῳ καί ζωαρχικῷ Πνεύματι δόξα, τιμή καί προσκύνησις, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



# ΕΥΧΗ
## ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΔΕΚΑΠΟΛΙΤΟΥ



**Τῇ 20ῇ τοῦ μηνός Νοεμβρίου, Μνήμη τοῦ ἐν Ἁγίοις πατρός ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου.**

### Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λυχνία ὡς δίπυρσος, τῶν θεϊκῶν δωρεῶν, ἀκτῖσι τῆς χάριτος, φωταγωγοῦσιν ἡμᾶς, Πατέρες οἱ ἔνθεοι, Πρόκλος τοῦ Βυζαντίου, ὁ σοφὸς Ποιμενάρχης, Γρηγόριος ὁ θεόφρων, Δεκαπόλεως γόνος· διὸ μετὰ προθυμίας, τούτοις προσέλθωμεν.

### Κοντάκιον.

Τῶν Ἁγίων.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ δυὰς ἡ ἔνθεος, τῶν θεοφόρων Πατέρων, βιοτῆς ὀρθότητι, καὶ τῶν δογμάτων τῇ αἴγλῃ, φάναντες, δικαιοσύνης ἐν τῷ στεφάνῳ, ὤφθησαν, τῆς Ἐκκλησίας νυμφαγωγία, ὁ Γρηγόριος καὶ Πρόκλος, οὓς εὐφημοῦντες Χριστὸν δοξάσωμεν.

### Μεγαλυνάριον τῶν Ἁγίων.

Ῥήτωρ Ἐκκλησίας θεοειδής, Πρόκλε ἀνεδείχθης, Ἱεράρχης ὡς εὐκλεής, σκεῦος ἀρετῶν δέ, Γρηγόριε ὡράθης· διὸ τὴν πολιτείαν ὑμῶν γεραίρομεν.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Βασιλεῦ Οὐράνιε Παράκλητε τό Πνεῦμα τῆς Ἀληθείας, ὁ πανταχοῦ παρῶν καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν, καί ζωῆς χορηγός, ὁ ποιητής τῶν ἄνω καί τῶν κάτω καί πάντων τῶν ὄντων ἐμφανῶν καί ἀφανῶν ὁ δούς ἐξουσίαν καί δύναμιν τοῖς Σοῖς μαθηταῖς καί Ἀποστόλοις, θεραπεύειν πᾶσαν νόσον καί πᾶσαν μαλακίαν ἐπειγομένην τοῖς ἀνθρώποις, ἐπᾶκουσον καί ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἐν τῇ ὥρᾳ ταύτῃ καί δίωξον καί ἐξάλειψον ἐκ τοῦ δούλου Σου (δεῖνος) πᾶν πονηρόν καί ἀκάθαρτον καί πᾶσαν πονηράν ἀσθένειαν καί ἐπιβουλήν τοῦ ἀντικειμένου δι᾽ εὐχῶν καί δεήσεων τῶν ἁγίων Σου ἐνδόξων καί πανευφήμων Ἀποστόλων Πέτρου καί Παύλου, Μάρκου καί Λουκᾶ, Φιλίππου καί Ματθαίου, Ἰωάννου καί Θωμᾶ, Ἀνδρέου καί Ἰακώβου καί πάντων τῶν ἁγίων Ἀποστόλων καί τῶν ἑβδομήκοντα τῶν καταβαλόντων τόν ἄρχοντα τοῦ αἰῶνος τούτου, τουτέστι τόν διάβολον, ὅπως δραπετεύσῃ καί ἐκκρυβῇ εἰς τόπον ἡτοιμασμένον αὐτῷ καί πᾶσι τοῖς μετ᾽ αὐτοῦ καί οὐδέν τῆς ἀδικίας αὐτοῦ ἀδικήσει τόν δοῦλον Σου τοῦτον. Ἐπακούσατε οὖν, Ἅγιοι Ἀπόστολοι, ἐμοῦ τοῦ

δεομένου ἐν τῇ ὥρᾳ ταύτῃ καί περιφυλάξατε τόν δοῦλον ὑμῶν (τάδε) ἀπό πάσης ἐπηρείας δαιμονικῆς, διά τοῦ ὀνόματος τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεῦματος. Ἀμήν.

# ΕΞΟΡΚΙΣΜΟΣ
## ΤΟΥ ΑΓΙΟΥ ΤΡΥΦΩΝΟΣ
## ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ




**Τῃ 1ῃ τοῦ μηνός Φεβρουαρίου,**
**Μνήμῃ τοῦ Ἁγίου Τρύφωνος τοῦ Μεγαλομάρτυρος.**

## Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τρυφὴν τὴν ἀκήρατον, ἰχνηλατῶν ἐκ παιδός, βασάνους ὑπήνεγκας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ ἤθλησας ἄριστα· ὅθεν τὴν τῶν θαυμάτων, κομισάμενος χάριν, λύτρωσαι πάσης βλάβης, καὶ παντοίας ἀνάγκης, Τρύφων Μεγαλομάρτυς, τοὺς σὲ μακαρίζοντας.

## Κοντάκιον.

Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Τριαδικῇ στερρότητι, πολυθεΐαν ἔλυσας, ἐκ τῶν περάτων ἀοίδιμε τίμιος, ἐν Κυρίῳ γενόμενος· καὶ νικήσας τυράννους ἐν Χριστῷ τῷ Σωτῆρι, τὸ στέφος εἴληφας τῆς μαρτυρίας σου, καὶ χαρίσματα θείων ἰάσεων, ὡς ἀήττητος.

## Μεγαλυνάριον.

Ἴχνεσιν ἑπόμενος ἀκλινῶς, Τρύφων Ἀθλοφόρε, τοῦ γνωσθέντος ἐπὶ τῆς γῆς, τῶν αὐτοῦ χαρίτων, δοχεῖον ἀνεδείχθης, καὶ ἱεροῖς ἀγῶσι Μάρτυς διέπρεψας.

# ΕΞΟΡΚΙΣΜΟΣ

## Λεγόμενος είς Κῆπους, Ἀμπελῶνας, καί Χωράφια

Ὄντος μου ἐν Λαμψάκου Κώμῃ, καί τάς χῆνας ἐπιμελουμένου μου καί βόσκοντος, ὀργή κατῆλθεν ἀπό Θεοῦ παντοκράτορος, οὐκ είς τόν τόπον ἐκεῖνον μόνον, ἀλλά καί είς τάς κύκλῳ περιχῶρους, τουτέστιν ὀργή πρός πᾶσαν ἄμπελον, χώραν τε, καί κῆπον, ἀθρόως τῶν φύλλων καί τῶν καρπῶν βριθομένων, μαραινομένων, καί ἀφανιζομένων. Ὁρῶν οὖν ἐγῶ ὁ ἐλάχιστος Τρύφων, οὕτω τηκομένους τούς καρπούς, καί διά ταύτην τήν αἰτίαν δαπανωμένους τούς ἀνθρῶπους, τῷ παντελεῖ ἀφανισμῷ τῶν καρπῶν τῆς γῆς, τῶν τε χωραφίων, ἀμπέλων, κήπων, καί λαχάνων, καί παντοίων δένδρων τῷ τοιούτῳ ὀλέθρῳ παραδιδομένων, διαπονηθείς, ἐδεήθην πρός τόν Κύριον καί Θεόν μου, τοῦ γενέσθαι ἀφανή πάντα τά θηρία, τά πρός ἀδικίαν καί φθοράν ὑπάρχοντα τῶν τε κῆπων, καί χωραφίων, καί ἀμπέλων, καί παντοίων δένδρων τε καί λαχάνων, καί μάλιστα τῶν τήν κώμην ἐκείνην οἰκούντων τῆς παρακειμένης λίμνης, καί

πρός ὑπόκλισιν καί πρόσκλησίν μου παραγενομένων. Καί δή εἰς προσευχήν κλίναντός μου τό γόνυ, καί τάς χεῖρας πρός τόν Θεόν ἐκπετάσαντος, ὁ εἰσακούων τῶν εἰς αὐτόν πεποιθότων Θεός, αὐτός ἐξαπέστειλεν ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ Ἄγγελον, τοῦ πατάξαι πᾶν φαῦλον καί πᾶν γένος κακούργων θηρίων, τῶν ἀδικούντων τήν ἄμπελον, τήν χώραν τε, καί τόν κῆπον τῶν δούλων αὐτοῦ, ὁ καί τῶν θηρίων τούτων τά ὀνόματα σαφῶς ἐπιστάμενος οἷα· Κάμπη, Σκώληξ, Σκωληκοκάμπη, Σκάνθαρος, Βροῦχος, Ἀκρίς, Ἐπίμαλος, Καλιγάρις, Μακρόπους, Μύρμηξ, Φθείρ, Ῥυγίτης, Ψυλλίτης, Καυσοκόπος, Ἐρυσίβη, Κοχλοί, Ψαλίτης, καί εἴτι ἄλλο προσφυσοῦν καί μαραῖνον τόν καρπόν τῆς σταφυλῆς καί τῶν λοιπῶν εἰδῶν καί λαχάνων· οὐ μῆν δέ, καί ἄλλα καί αὐτός ἐγώ ὅρκῳ ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τούς τόπους τῶν ἐμέ προσκαλουμένων ἐπιβαίνειν τούτους καί διατρίβειν, ἀλλ' ἐπί ἀβάτων τόπων ἐπέταξα ἀπελθεῖν. Ὁ δέ ὅρκος τοιοῦτος ἐστίν· Ὁρκίζω ὑμᾶς κατά τῶν ἁγίων πολυομμάτων Χερουβίμ, καί τῶν ἑξαπτερύγων Σεραφίμ, τῶν ἱπταμένων κύκλῳ τοῦ θρόνου, καί κραζόντων τό· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Ὁρκίζω ὑμᾶς κατά τῶν Ἁγίων Ἀγγέλων, καί

πάσης Δυνάμεως, καί τῶν μυρίων μυριάδων, καί χιλίων χιλιάδων, τῶν φόβῳ πολλῷ ἱσταμένων κατενώπιον τῆς δόξης Κυρίου· μή ἀδικήσητε τήν ἄμπελον, μήτε τήν χώραν, μήτε τόν κῆπον τῶν δένδρων τε καί λαχάνων τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), ἀλλά ἀπέλθετε εἰς τά ἄγρια ὄρη, εἰς τά ἄκαρπα ξύλα, εἰς ἅ ἐχαρίσατο ὑμῖν ὁ Θεός τήν καθημερινήν τροφήν. Ὁρκίζω ὑμᾶς κατά τοῦ τιμίου Σώματος καί Αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ, καί Σωτῆρος ἡμῶν, δι᾽ οὗ καί ἡ σωτηρία ἐδόθη ἡμῖν καί ἀπολύτρωσις, καί ὑπέρ οὗ μέλλομεν ἀποθνήσκειν· μή ἀδικήσητε μήτε τήν χῶραν, μήτε τήν ἄμπελον, μήτε τόν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καί ἄκαρπον, ἤ φῦλλον λαχάνων ἀδικήσητε, ἐκ τοῦ περιορισμοῦ καί τόπου τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος)· εἰ δέ παρακούσητέ μου, καί παραβῆτε τόν ὅρκον, ὅν ὥρκισα ὑμᾶς, οὐκ ἔχετε πρός ἐμέ τόν ταπεινόν καί ἐλάχιστον Τρύφωνα, ἀλλά πρός τόν Θεόν τοῦ Ἀβραάμ, καί Ἰσαάκ, καί Ἰακώβ, τόν ἐρχόμενον κρῖναι ζῶντας καί νεκρούς. Διό, καθώς προεῖπον ὑμῖν, ὑπάγετε εἰς τά ἄγρια ὄρη, εἰς τά ἄκαρπα ξύλα· εἰδέ μή ἀκούσητέ μου, ἱκετεύειν μέλλω τόν φιλάνθρωπον Θεόν, τοῦ ἀποστεῖλαι τόν Ἄγγελον αὐτοῦ τόν ἐπί τῶν θηρίων, καί σιδήρῳ καί μολύβδῳ δήσει

ὑμᾶς καί ἀποκτενεῖ, ἀνθ' ὧν τούς ὅρκους καί τήν προσευχῆν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος· ἀλλά καί οἱ στρουθοί, πεμπόμενοι δι' ἐμῆς προσευχῆς, καταφάγονται ὑμᾶς. Ἔτι ὁρκίζω ὑμάς κατά τοῦ μεγάλου Ὀνόματος, τοῦ ἐπί τῆς πέτρας ἐπιγραφέντος, καί μή βαστασάσης, ἀλλά διαρραγείσης, ὡσεί κηρός προσώπου πυρός· Ἐξέλθετε ἐκ τῶν καθ' ἡμᾶς, εἰς οὕς προεῖπον ὑμῖν, τόπους ἀβάτους, καί ἀνύδρους, καί ἀκάρπους· ἐξέλθετε ἀπό τοῦ τόπου καί περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν κἀμέ προσκαλουμένων εἰς βοήθειαν αὐτῶν, καί ἀντίληψιν, καί σωτηρίαν· ἵνα καί ἐν τούτοις δοξασθῇ, τό πανάγιον ὄνομα τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, καί αἱ προσευχαί καί αἱ αἰτήσεις τοῦ ταπεινοῦ Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῷ πρέπει δόξα καί κράτος, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.
Ὁ Διάκονος· Τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

## Εἶτα τήν ἑξῆς εὐχήν

Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ εὐλογήσας τήν Βηθλεέμ, καί τήν Γεθσημανή, καί πρώην τόν οἶκον Ἰακώβ, ὅς καί εὐλογηθείς, Ἰσραήλ μετωνομάσθη· ὁ καί τόν οἶκον Δαυΐδ εὐλογήσας· αὐτός εὐλόγησον καί τό Κτῆμα τοῦτο (τόν κῆπον, ἤ τήν ἄμπελον), καί ποίησον αὐτό ἐπ' εὐλογίαις καρποφορεῖν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καί ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου καί ἐνδόξου Προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἁγίων καί καλλινίκων Μαρτύρων· τῶν Ἁγίων ἐνδόξων, μεγάλων Μαρτύρων Τρύφωνος, Εὐσταθίου, καί Ἰουλιανοῦ· τοῦ Ἁγίου (τοῦδε), καί πάντων σου τῶν Ἁγίων. Ὅτι σύ εἶ ὁ εὐλογῶν, καί ἁγιάζων τά σύμπαντα, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ παναγίῳ, καί ἀγαθῷ, καί ζωοποιῷ σου Πνεύματι, νῦν, καί ἀεί, καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



# ΕΥΧΗ
## ΤΩΝ ΑΓΙΩΝ ΕΠΤΑ ΠΑΙΔΩΝ
## ΕΙΣ ΑΣΘΕΝΗ ΚΑΙ ΜΗ ΥΠΝΟΥΝΤΑ



Τῇ 4ῃ τοῦ μηνός Αὐγούστου,
Μνήμη τῶν Ἁγίων Ἑπτά Παίδων τῶν ἐν Ἐφέσῳ.

Ἀπολυτίκιον.
Ἦχος γ΄. Θείας πίστεως.

Θείῳ Πνεύματι, ἀφθαρτισθέντες, πολυχρόνιον, ἤνυσαν ὕπνον, οἱ ἐν Ἐφέσῳ ἑπτάριθμοι Μάρτυρες· καὶ ἀναστάντες πιστοὺς ἐβεβαίωσαν, τὴν τῶν ἀνθρώπων κοινὴν ἐξανάστασιν· ὅθεν ἅπαντες, συμφώνως τούτους τιμήσωμεν, δοξάζοντες Χριστὸν τὸν πολυέλεον.

Κοντάκιον.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ παριδόντες, καὶ τὰς ἀφθάρτους δωρεὰς εἰληφότες, διαφθορᾶς διέμειναν θανόντες παρεκτός· ὅθεν ἐξανίστανται, μετὰ πλείονας χρόνους, ἅπασαν ἐνθάψαντες, δυσμενῶν ἀπιστίαν· οὓς ἐν αἰνέσει σήμερον πιστοί, ἀνευφημοῦντες, Χριστὸν ἀνυμνήσωμεν.

Μεγαλυνάριον.

Δόγμα ἀκυροῦται νεκροποιόν· οἱ γὰρ θεῖοι Παῖδες, ἀναστάντες ἐκ τῶν νεκρῶν, ἐδήλωσαν πᾶσι, τὴν μέλλουσαν γενέσθαι, ἐν τῇ ἐσχάτῃ ὥρᾳ, βροτῶν ἀνάστασιν.

## ΠΡΩΤΗ ΕΥΧΗ

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεός ὁ μέγας καί αἰνετός καί ἀκατάληπτος καί ἀνεκδιήγητος, ὁ πλάσας τόν ἄνθρωπον τῇ χειρί σου, χοῦν λαβών ἀπό τῆς γῆς· καί τῇ εἰκόνι τῇ σῇ τιμήσας αὐτόν, Ἰησοῦ Χριστέ, τό ἐπιποθητόν ὄνομα, σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, ἐπιφάνηθι ἐπί τόν δοῦλόν σου (τόν δε)· καί ἐπίσκεψαι αὐτόν ψυχῇ καί σώματι, δυσωπούμενος ὑπό τῆς πανενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας· τῶν ἁγίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καί βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καί Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θελόγου, καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος τοῦ Θαυματουργοῦ, καί πάντων τῶν ἁγίων Ἱεραρχῶν· τοῦ ἁγίου Ἀποστόλου πρωτομάρτυρος καί ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων ἐνδόξων μεγαλομάρτυρων Γεωργίου

τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου τοῦ Στρατηλάτου καί πάντων τῶν ἁγίων Μαρτύρων· τῶν Ὁσίων καί Θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα τοῦ Ἡγιασμένου, Θεοδοσίου τοῦ Κοινοβιάρχου, Ὀνουφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν Ἄθῳ, καί πάντων τῶν Ὁσίων· τῶν ἁγίων καί ἰαματικῶν Ἀναργύρων, Κοσμᾶ καί Δαμιανοῦ, Κύρου καί Ἰωάννου, Παντελεήμονος καί Ἑρμολάου, Σαμψών καί Διομήδους Μωκίου καί Ἀνικήτου, Θαλελαίου καί Τρύφωνος, καί τῶν λοιπῶν· τοῦ Ἁγίου (τοῦδε), καί πάντων σου τῶν Ἁγίων καί δός αὐτῷ ὕπνον ἀνέσεως, ὕπνον σωματικόν ὑγείας, καί σωτηρίας, καί ζωῆς, καί ῥῶσιν ψυχῆς καί σώματος· καί ὡς ἐπεσκέψω ποτέ Ἀβιμελέχ τόν θεράποντά σου ἐν τῷ ἀγρῷ τοῦ Ἀγρίππα, καί ἔδωκας αὐτῷ ὕπνον παραμυθίας, τοῦ μή ἰδεῖν τήν πτῶσιν Ἱερουσαλήμ, καί τοῦτον κοιμήσας ὕπνῳ θρεπτικῷ καί πάλιν τοῦτον ἀναστήσας ἐν μιᾷ καιροῦ ῥοπῇ, εἰς δόξαν τῆς σῆς ἀγαθότητος· ἀλλά καί τούς ἁγίους σου καί ἐνδόξους ἑπτά Παῖδας, ὁμολογητάς καί μάρτυρας τῆς σῆς ἐπιφανείας ἀναδείξας, ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως καί ἀποστάτου, καί τούτους κοιμίσας ἐν σπηλαίῳ ἔτη τριακόσια ἑβδομήκοντα δύο, ὡσεί βρέφη θάλποντα

ἐν τῇ νηδύϊ τῆς αὐτῶν μητρός, καί μηδόλως ὑπομείναντας φθοράν, εἰς ἔπαινον καί δόξαν τῆς φιλανθρωπίας σου, εἰς ἔνδειξιν καί βεβαίωσιν ἡμῶν τῆς παλιγγενεσίας καί ἀναστάσεως πάντων. Αὐτός οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καί νῦν διά τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καί ἐπίσκεψαι τόν δοῦλόν σου (τόνδε), καί δώρησαι αὐτῷ ὑγείαν, ῥῶσιν καί εὐρωστίαν διά τῆς σῆς ἀγαθότητος, ὅτι παρά σοῦ ἐστι πᾶσα δόσις ἀγαθή, καί πᾶν δώρημα τέλειον. Σύ γάρ εἶ, ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστέ ὁ Θεός, καί σοί τήν δόξαν καί εὐχαριστίαν καί προσκύνησιν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἐπί οἰκίας περιεργαζομένης ὑπό πονηρῶν πνευμάτων

Κύριε, ὁ Θεός τῆς σωτηρίας ἡμῶν, ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος· ὁ τοῖς Χερουβείμ ἐποχούμενος· ὁ ὑπεράνω πάσης ἀρχῆς, καί ἐξουσίας, καί δυνάμεως, καί κυριότητος· ὁ μέγας καί φοβερός ἐπί πάντας τούς περικύκλῳ σου· ὁ στήσας τόν οὐρανόν ὡσεί καμάραν· ὁ ποιη-

σας τήν γῆν ἐν τῇ ἰσχύϊ σου, καί ἀνορθώσας τήν οἰκουμένην ἐν τῇ σοφίᾳ σου· ὁ σείων τήν ὑπ' οὐρανόν ἐκ θεμελίων, τῶν δέ στύλων αὐτῆς σαλευομένων· ὁ λέγων τῷ ἡλίῳ, καί οὐκ ἀνατέλλει, κατά δέ ἄστρων κατασφραγίζει· ἀπειλῶν τῇ θαλάσσῃ, καί ξηραίνων αὐτήν· οὗ ὁ θυμός τήκει ἀρχάς καί ἐξουσίας, καί πέτραι διετρίβησαν ἀπό σοῦ· ὁ πῦλας χαλκᾶς συντρίψας, καί μοχλούς σιδηροῦς συνθλάσας· ὁ τόν ἰσχυρόν δήσας, καί τά σκεύη αὐτοῦ διαρρήξας, τόν τύραννον τῷ Σταυρῷ σου καταβαλών· ὁ τόν δράκοντα τῷ ἀγκίστρῳ τῆς ἐνανθρωπήσεώς σου ἑλκύσας, καί δεσμοῖς αὐτόν ζόφου ταρταρείου πεδήσας· αὐτός οὖν, Κύριε, ἡ ἀσφάλεια τῶν εἰς σέ ἐλπιζόντων, τό ὀχυρόν τεῖχος τῶν ἐπί σοί πεποιθότων, ἀπόστησον, φυγάδευσον, καί ἀπέλασον πᾶσαν διαβολικήν ἐνέργειαν, πᾶσαν σατανικήν ἔφοδον, πάσαν ἐπιβουλήν ἐναντίας δυνάμεως, ἀπό τῆς οἰκίας ταύτης, καί τῶν ἐν αὐτῇ κατοικούντων, τῶν τήν σημείωσιν τοῦ φοβεροῦ κατά δαιμόνων τροπαίου τοῦ Σταυροῦ σου φορούντων, καί ἐπικεκλημένων τό Ὄνομα σου τό ἅγιον. Ναί, Κύριε, ὁ τόν λεγεῶνα τῶν δαιμόνων ἀποδιώξας, καί τῷ κωφῷ καί ἀλάλῳ καί ἀκαθάρτῳ πνεύματι, τήν ἐκ τοῦ κεκρατημένου ὑπ' αὐτοῦ ἀνθρώπου, ἔξοδον, ἀνεπίστροφον

ἐπιτάξας· ὁ πᾶσαν τήν φάλαγγα τῶν ἀοράτων ἐχθρῶν ἡμῶν ἐξολοθρεύσας, τοῖς δέ πιστοῖς καί ἐπεγνωκόσι σε φήσας· Ἰδού δίδωμι ὑμῖν τήν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων, καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ· αὐτός, Δέσποτα, πάσης βλάβης καί ἐπηρείας ἀνωτέρους πάντας τούς ἐν τῷ οἴκῳ τούτῳ διαφύλαξον, ῥυόμενος ἀπό φόβου νυκτερινοῦ, ἀπό βέλους πετομένου ἡμέρας, ἀπό πράγματος ἐν σκότει διαπορευομένου, ἀπό συμπτώματος καί δαιμονίου μεσημβρινοῦ· ἵνα, τῆς σῆς οἱ σοί δοῦλοι καί αἱ σαί δουλίδες καί τά νήπια ἀπολαύοντες βοηθείας, καί Ἀγγελικῷ στρατοπέδῳ φρουρούμενοι, ὡς εἷς, ἅπαντες ἐν ὁμονοίᾳ πιστῶς ψάλλωσι· Κύριος ἐμοί βοηθός· καί, οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος· καί πάλιν· Οὐ φοβηθήσομαι κακά, ὅτι σύ μετ' ἐμοῦ εἶ. Ὅτι σύ εἶ ὁ Θεός, κραταίωμά μου, ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, Πατήρ τοῦ μέλλοντος αἰῶνος, καί ἡ βασιλεία σου, βασιλεία αἰώνιος· καί σοῦ μόνου ἐστίν ἡ βασιλεία, καί ἡ δύναμις, καί ἡ δόξα, ἅμα τῷ ἀνάρχῳ Πατρί καί τῷ μονογενῆ σου Υἱῷ καί τῷ Παναγίῳ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἐπί αἰσχρῶν λογισμῶν

Δέσποτα Κύριε, ὁ Θεός μου, οὗ ἐν χερσίν οἱ κλῆροί μου, ἀντιλαβοῦ μου κατά τό ἔλεός σου, καί μή ἐάσῃς με συναπολέσθαι ταῖς ἀνομίαις μου, μηδέ τῷ θελήματι ἐπακολουθῆσαι τῆς ἐπιθυμούσης σαρκὸς μου κατά τοῦ πνεύματος. Πλάσμα σόν εἰμι, μή παρίδῃς ἔργον χειρῶν σου· μή ἀποστραφῇς, οἴκτειρον, ἀλλά μή ἐξουδενώσῃς, μηδέ ὑπερίδῃς με Κύριε, ὅτι ἀσθενής εἰμι· ὅτι πρός σέ κατέφυγον τόν σκεπαστήν μου Θεόν. Ἴασαι τήν ψυχήν μου, ὅτι ἥμαρτόν σοι· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι ἐπί σέ ἐπερρίφην ἐκ νεότητός μου· αἰσχυνθήτωσαν οἱ ἐπανιστάμενοί μοι, καί ἐντραπήτωσαν οἱ ζητοῦντές με ἐξῶσαι ἀπό σοῦ, διά πράξεων ἀσέμνων, διά λογισμῶν ἀπρεπῶν, δι' ἐνθυμήσεων ἀσυμφόρων. Ἀπέλασον ἀπ' ἐμοῦ πᾶσαν ῥυπαρίαν, κακίας περίσσευμα· ὅτι σύ εἶ μόνος ἅγιος, μόνος ἰσχυρός, μόνος ἀθάνατος, κατά πάντα ἔχων τήν δυναστείαν ἀνείκαστον· καί διά σοῦ δίδοται πᾶσιν ἡ κατά τοῦ Διαβόλου καί τῆς αὐτοῦ στρατιᾶς ἰσχύς. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εἰς πόλεμον πορνείας

Ὁ Θεός τῶν δυνάμεων, ὁ ἰώμενος πᾶσαν νόσον καί πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, ἱλᾶσθητι τοῖς δούλοις σου, καί μή δῷς ἀνθρώπῳ, καί δαίμονι κοινωνίαν. Ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύμασι· σύντριψον τόν Σατανᾶν ὑπό τούς πόδας τῶν δούλων σου· ἐγκαίνισον αὐτούς τῷ Ἁγίῳ σου Πνεύματι· ἕνωσον αὐτούς τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ· καί πάσης ἐνεργείας τοῦ ἀντικειμένου λυτρωσάμενος, παράστησον τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καί τῶν ἐπουρανίων σου καί ζωοποιῶν Μυστηρίων ἀξίωσον.
Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν, Θεός τῶν μετανοούντων, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



## ΕΤΕΡΑ ΕΥΧΗ ΕΙΣ ΠΟΛΕΜΟΝ ΠΟΡΝΕΙΑΣ

Κύριε, ὁ Θεός τῆς δικαιοσύνης, ἰσχύς μου, καί βοήθεια, καί καταφυγή μου ἐν ἡμέρᾳ κακῇ· σύ σώζεις ἐν καιρῷ θλίψεως· σῶσόν με, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχής μου· ἐνεπάγην εἰς ἰλύν βυθοῦ, καί οὐκ ἔστιν ὑπόστασις ἀπό προσώπου ἐχθροῦ καταδυναστεύοντος· ὅτι κατεδίωξε τήν ψυχήν μου, καί κατεπάτησεν εἰς γῆν τήν ζωήν μου· ὅλην τήν νύκτα πολεμῶν ἔθλιψέ με. Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με ἐκ χειρός παρανομοῦντος καί ἀδικοῦντος, ὅπως ἄν μή ἁμάρτω σοι· ὅτι φόβος θανάτου ἐπέπεσεν ἐπ' ἐμέ, καί ἐκάλυψέ με σκότος. Ἕως τίνος κεκράξομαι, Κύριε, καί οὐκ εἰσακούσῃ μου; βοήσομαι πρός σέ ἀδικούμενος, καί οὐ μή σώσῃς; Ἐπίβλεψον ἐξ οὐρανοῦ, Κύριε, καί ἴδε ἐκ τοῦ Οἴκου τοῦ ἁγίου σου καί τῆς δόξης σου. Ποῦ ἐστι τό πλῆθος τῶν οἰκτιρμῶν σου, κατά τό ἔλεός σου, ὅτι ἠνέσχου ἡμῶν; Κύριε, δίκασον τούς ἀδικοῦντάς με· μή ἔσο ὡς ἄνθρωπος ὑπνῶν, καί ὡς ἀνήρ μή δυνάμενος σῴζειν. Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΒΙΒΛΙΟΓΡΑΦΙΑ

*Τά Εὐχολόγια τοῦ Goar-Γκόαρ καί τοῦ Dimitriefski-Δημητριεύσκη, καθώς καί τό Μέγα Εὐχολόγιον, ἔκδοση Ἰ. Σαλιβέρου (σελ. 229-230), Ἀθῆναι, τό Μικρόν Εὐχολόγιον ἤ Ἁγιασματάριον, ἔκδοσις Ἀποστολικῆς Διακονίας, Ἀθῆναι, Ὁ Ἅγιος Ἱερομάρτυρας Κυπριανός, ἐκδόσεις Βασ. Ρηγοπούλου, Θεσσαλονίκη 1992 καί Εὐχαί Ἁγίων πρός ἐπιτίμησιν τῶν ἀκαθάρτων πνευμάτων, ἐκδόσεις Ἀλήθεια, Ἀθῆνα 2001, ἦταν μεγάλη βοήθεια γιά τήν ἔκδοση αὐτή.*



Ὁ Πρωτοπρεσβύτερος Δημήτριος Βακάρος γεννήθηκε τό Νοέμβριο τοῦ 1937 στό Βρυσοχώρι Ζαγορίου Ἰωαννίνων.

Νυμφεύθηκε τό 1963 τή Φεβρωνία Καρανίκα καί εἶναι πατέρας δύο παιδιῶν τοῦ Γεωργίου καί τοῦ Σωτηρίου.

Τό ἴδιο ἔτος χειροτονήθηκε διάκονος καί πρεσβύτερος στόν Ἱερό Ναό Γεννήσεως τῆς Θεοτόκου - Παναγούδας Θεσσαλονίκης, ὅπου καί τοποθετήθηκε ὡς ἐφημέριος. Τό 1969 ἔφυγε γιά σπουδές στήν Ἀμερική καί ὅταν ἐπέστρεψε τοποθετήθηκε ὡς ἐφημέριος στόν Ἱερό Ναό τοῦ Ἁγίου Δημητρίου Θεσσαλονίκης.

Εἶναι πτυχιοῦχος: α) Τοῦ Ἱεροδιδασκαλείου Βελλᾶς Ἰωαννίνων, β) Τῆς Θεολογικῆς Σχολῆς τοῦ Α.Π.Θ., γ) Τοῦ General Theological (Master' s Degree στή Θεολογία) τῆς Νέας Ὑόρκης τῶν Η.Π.Α., δ) Τοῦ Ἰνστιτούτου Θεραπευτικῆς καί Κοινωνικῆς Παιδαγωγικῆς τοῦ Ψ.Κ.Β.Ε., ε) Τοῦ Μακεδονικοῦ Ὠδείου Θεσσαλονίκης στή βυζαντινή μουσική καί στ) Διδάκτωρ Θεολογικῆς Σχολῆς τοῦ Α.Π.Θ.

Μετεκπαιδεύτηκε: α) στό Τμῆμα Μεταπτυχιακῶν Σπουδῶν τῆς Θεολογικῆς Σχολῆς τοῦ Α.Π.Θ. (1966-1968), β) στό Πανεπιστήμιο τῆς Γιούτα τῶν Η.Π.Α. στή Φιλοσοφία (1970-1972), γ) στό General Theological Seminary τῆς Νέας Ὑόρκης στή Λειτουργική Θεολογία καί Ὁμιλητική (1972-1974).

Ὑπηρέτησε ὡς καθηγητής τῆς Δευτεροβάθμιας Ἐκπαίδευσης (1976-1978), διετέλεσε Διευθυντής ἀναγνωρισμένων Ἑλληνορθοδόξων σχολείων τῆς Ἀμερικῆς (1970-1976) καί ἀπό τό 1990 μέχρι 30 Ἰουνίου 2005 διετέλεσε διευθυντής τῆς Ἀνωτέρας Ἐκκλησιαστικῆς Σχολῆς Θεσσαλονίκης.

Ὑπηρέτησε ἐπί μακρόν στή θέση τοῦ προεδρεύοντος τοῦ Θεαγενείου Ἀντικαρκινικοῦ Ἰνστιτούτου καί ἀπό τό 1978 ὁ Παναγιώτατος Μητροπολίτης Θεσσαλονίκης κ.κ. Παντελεήμων Β' τόν τοποθέτησε στή θέση τοῦ Γενικοῦ Ἀρχιερατικοῦ Ἐπιτρόπου τῆς Ι.Μ.Θ., στή θέση τοῦ Ἀρχισυντάκτου τοῦ περιοδικοῦ τῆς Μητροπόλεως "Γρηγόριος ὁ Παλαμᾶς" (Βραβεῖο Ἀκαδημίας Ἀθηνῶν) καί στή θέση τοῦ Διευθυντοῦ τῆς Σχολῆς Γονέων καί Κηδεμόνων τῆς Ι.Μ.Θ., θέσεις τίς ὁποῖες κατεῖχε μέχρι τήν 1ην Ἰουνίου 2001.

Συνέγραψε βιβλία, μελέτες καί ἄρθρα πού δημοσιεύτηκαν αὐτοτελῶς, καθώς καί σέ περιοδικά καί ἐφημερίδες τῆς Ἑλλάδος καί τῆς Ἀμερικῆς.